X. Ὁ δὲ Κελτὸς ἀγανακτῶν καὶ λιφαιμῶν ἐδίωκε τὸν Οὐαλλέριον, συγκαταπεσεῖν ἐπειγόμενος. Ὑπὸ δὲ πόδας ἀναχωροῦντος ἀεὶ τοῦ Οὐαλλερίου, κατέπεσε πρηνὴς ὁ Κελτός. Καὶ δεύτερον τοῦτο μονομάχιον ἐπὶ Κελτοῖς ἐμεγαλαύχουν Ῥωμαῖοι. (Suidas, v. λιφαιμεῖ.)

XI. Ὅτι τὸ τῶν Σενόνων ἔθνος ἔνσπονδον ἦν Ῥωμαίοις, καὶ ἐμισθοφόρουν κατὰ Ῥωμαίων. Ἡ δὲ βουλὴ πρέσβεις ἔπεμψεν ἐγκαλέσοντας, ὅτι ὄντες ἔνσπονδοι μισθοφοροῦσι κατὰ Ῥωμαίων. Τούτους Βριτόμαρις ὁ Κελτὸς, ἀγανακτῶν ὑπὲρ τοῦ πατρὸς, ὅτι συμμαχῶν Τυρρηνοῖς ὑπὸ Ῥωμαίων ἐν τῷδε τῷ πολέμῳ διέφθαρτο, τά τε κηρύκια φέροντας, καὶ

1. On sait que les Gaulois de la Transalpine portaient les cheveux longs, d'où le nom de *Gallia comata* donné à leur pays. Catulle, XXIX, 3 ; Méla, III, ii, 4 ; Lucain, I, 443 ; *crinibus effusis..... Comatæ ;* Pline, IV, xxxi, 17 (cf. XXXVI, 6, vii). Schweighæuser rapproche de ce passage ce que dit Appien des Ibères (VI, lxvii), οἱ μετά τε κραυγῆς καὶ θορύβου βαρβαρικοῦ καὶ κόμης μακρᾶς, ἣν ἐν τοῖς πολέμοις ἐπισείουσι τοῖς ἐχθροῖς.....

leurs armes avec fracas, agitent leurs grands sabres et leur chevelure. Mais voyez comme l'audace leur manque, comme leurs corps sont mous, et mettez-vous à la besogne. »

IX (O). ..... et le peuple du haut de la citadelle voyait (le combat[1]), et pour soutenir les hommes fatigués, il envoyait sans cesse des troupes fraîches ; et les Celtes qui, déjà las, se trouvaient aux prises avec des hommes que rien n'avait lassés, fuyaient à la débandade.

X (O). Le Celte indigné, qui n'avait plus de sang, poursuivait Valérius, se hâtant pour le faire tomber avec lui. Mais Valérius reculait toujours, et le Celte tomba la face en avant. Et ce fut là le deuxième combat singulier[2] avec les Celtes, dont les Romains furent bien fiers.

XI (O). Le peuple des Sénons était lié par un traité avec les Romains[3], et cependant il se mettait à la solde de leurs ennemis. En conséquence, le Sénat lui envoya des députés pour lui reprocher de se mettre, en dépit de leurs traités, à la solde des ennemis de Rome. Le celte Britomaris, indigné de ce que son père, combattant avec les Tyrrhènes, avait été tué dans cette guerre par les Romains, se saisit des ambassadeurs ayant en main leur caducée et revêtus de

1. V. sur ce combat qui eut lieu près de la porte Colline (an de Rome 395, av. J.-C. 358), Tite-Live, VII, 11.

2. Ce combat singulier qui eut lieu entre Valérius Corvus ou Corvinus et un Gaulois eut lieu l'an de Rome 404, av. J.-C. 349. Tite-Live, VII, 26. — Le précédent avait vu aux prises un Gaulois et Manlius. Tite-Live, *ib.*, 9-10.

3. V. *supr.* p. 6-7, extr. VI du liv. III, *Saunitique.* — Cf. Polybe, II, 19, dans notre t. II, p. 64-69, et Eutrope, II, 15. — An de Rome 469-470, av. J.-C. 284-283.

τὴν ἄσυλον ἐσθῆτα περικειμένους[1], κατέτεμνεν ἐς πολλὰ, καὶ τὰ μέρη τῶν σωμάτων διέρριψεν ἐς τὰ πεδία. Καὶ τοῦ μύσους[2] ὁ Κορνήλιος ἐν ὁδῷ πυθόμενος, ἐς τὰς Σενόνων πόλεις συντόνῳ σπουδῇ διὰ Σαβίνων καὶ Πικεντίνων[3] ἐσβαλὼν, ἅπαντα καθῄρει καὶ ἐνεπίμπρη· τῶν τε ἀνθρώπων, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἠνδραποδίζετο· τοὺς δὲ ἐν ἥβῃ πάντας ἔκτεινεν ὁμαλῶς, καὶ τὴν χώραν ἐλυμαίνετο ποικίλως, καὶ ἄοικον εἰς τὸ λοιπὸν ἐποίει. Βριτόμαριν δὲ μόνον ἦγεν αἰχμάλωτον ἐπὶ λύμῃ. Ὕστερον δὲ Σένονες, οὐκ ἔχοντες ἔτι πατρίδας, ἐς ἃς διαφύγωσι, συνέπεσον ἐς χεῖρας ὑπὸ τόλμης τῷ Δομετίῳ· καὶ ἡττώμενοι, σφᾶς αὐτοὺς ὑπὸ ὀργῆς διεχρῶντο μανικῶς. Καὶ δίκη μὲν ἥδε παρανομίας ἐς πρέσβεις ἐγένετο Σένοσιν. (Ursin., *Ambass.*, Extr. X, p. 350.)

XII. Ὅτι οἱ Σαλύων (δυνάσται[4]), τοῦ ἔθνους ἡττηθέντος[5] ὑπὸ Ῥωμαίων, ἐς Ἀλλόβριγας κατέφυγον. Καὶ αὐτοὺς ἐξαιτοῦντες οἱ Ῥωμαῖοι, στρατεύουσιν ἐπὶ τοὺς Ἀλλόβριγας οὐκ ἐκδιδόντας, ἡγουμένου σφῶν Γναίου Δομετίου. Ὧ παροδεύοντι τὴν τῶν Σαλύων ἐντυγχάνει πρεσβευτὴς Βιτοίτου[6], βασιλέως τῶν Ἀλλοβρίγων, ἐσκευασμένος τε πολυτελῶς, και δορυφόροι παρείποντο αὐτῷ κεκοσμημένοι, καὶ κύνες. Δορυφοροῦνται γὰρ δὴ καὶ πρὸς κυνῶν οἱ τῇδε βάρβαροι. Μουσικός τε ἀνὴρ εἵπετο, βαρβάρῳ μουσικῇ τὸν βασιλέα Βιτοῖτον, εἶτ' Ἀλλόβριγας, εἶτα τὸν πρεσβευτὴν αὐτὸν, ἔς τε γένος καὶ ἀνδρείαν καὶ περιουσίαν ὑμνῶν· οὗ δὴ καὶ μάλιστα ἕνεκα αὐτοὺς οἱ

1. Ursin. conject. περιειμένους. — 2. *Sic* B V, Ursin. μίσους, comme plus haut, p. 6. — 3. B πικεντίων. — 4. δυνάσται, omis dans les trois mss. A M N, est une addition de Schweigh. qui a pris ce mot à la fin de ce morceau même. — 5. ἡττηθέντος, corr. du même p. ἡττηθέντες. — 6. Ursin. ici et plus bas Βετούλτου, Βέτουλτον.

la robe qui les rendait inviolables, il les fit mettre en mille pièces, et disperser dans la campagne les lambeaux de leur corps. Cornélius [Dolabella], qui était en marche, apprend cet odieux attentat; il se hâte, il traverse en courant la Sabine et le Picentin, et se jetant sur les villes des Sénons, il y met tout à feu et à sang. Les femmes et les enfants sont réduits en esclavage, les jeunes gens sont tous massacrés sans exception, le pays dévasté de diverses façons et rendu inhabitable pour toujours. Britomaris seul fut emmené captif pour être livré au supplice. Plus tard, les Sénons n'ayant plus de patrie où trouver un refuge, dans un élan d'audace, en viennent aux mains avec Domitius. Ils sont défaits et, dans leur colère, ils s'égorgent eux-mêmes comme des furieux : juste châtiment de l'attentat des Sénons envers des ambassadeurs.

XII (O). Les Salyes ayant été vaincus par les Romains, les chefs de ce peuple se réfugièrent chez les Allobriges; les Romains en réclamèrent l'extradition. Sur le refus des Allobriges, ils envoyèrent une expédition commandée par Gnæus Domitius[1]. Au moment où ce général quittait le territoire des Salyes, un ambassadeur de Bitoïtos, roi des Allobriges, en somptueux équipage, vint au-devant de lui : il était escorté de gardes[2] richement vêtus, et de chiens. Les barbares en ces contrées ont aussi une garde de chiens. Un poëte suivait, qui dans une poésie barbare chantait le roi Bitoïtos, puis les Allobriges, puis l'ambassadeur lui-même, leur naissance, leur courage et leurs richesses; c'est même pour cela surtout que parmi les

1. An de Rome 631, av. J.-C. 122.
2. Litt. : de porte-lance.

τῶν πρεσβευτῶν ἐπιφανεῖς ἐπάγονται[1]. Ἀλλ' ὁ μὲν, συγγνώμην αἰτῶν τοῖς Σαλύων δυνάσταις, ἀπέτυχεν. (Urs., *Ambass.*, Extr. XII, p. 351.)

XIII. Ὅτι τῶν Τευτόνων μοῖρα ληστεύουσα πολύανδρος ἐς τὴν γῆν τῶν Νωρικῶν ἐσέβαλλεν. Καὶ ὁ Ῥωμαίων ὕπατος Παπίριος Κάρβων δείσας, μὴ ἐς τὴν Ἰταλίαν ἐσβάλοιεν, ἐφήδρευε τοῖς Ἀλπίοις, ᾗ μάλιστά ἐστιν ἡ διάβασις στενοτάτη. Οὐκ ἐπιχειρούντων δ' ἐκείνων, αὐτὸς ἐπέβαινεν αὐτοῖς, αἰτιώμενος ἐς Νωρικοὺς ἐσβαλεῖν, Ῥωμαίων ξένους ὄντας. Ἐποιοῦντο δ' οἱ Ῥωμαῖοι ξένους, οἷς ἐδίδοσαν μὲν εἶναι φίλους, ἀνάγκη δ' οὐκ ἐπῆν ὡς φίλοις ἐπαμύνειν. Οἱ μὲν δὴ Τεύτονες πλησιάζοντι τῷ Κάρβωνι προσέπεμπον, ἀγνοῆσαί τε τὴν ἐς Ῥωμαίους Νωρικῶν ξενίαν, καὶ αὐτῶν ἐς τὸ μέλλον ἀφέξεσθαι. Ὁ δ' ἐπαινέσας τοὺς πρέσβεις, καὶ δοὺς αὐτοῖς ὁδῶν ἡγεμόνας, κρύφα τοῖς ἡγουμένοις ἐνετείλατο μακροτέραν αὐτοὺς περιάγειν. Τῇ βραχυτέρᾳ δὲ αὐτὸς διαδραμὼν, ἀδοκήτως ἀναπαυομένοις ἔτι τοῖς Τεύτοσιν ἐμπεσὼν, ἔδωκε δίκην ἀπιστίας, πολλοὺς ἀποβαλών[2]. Τάχα δ' ἂν καὶ πάντας ἀπώλεσεν, εἰ μὴ ζόφος καὶ ὄμβρος καὶ βρονταὶ βαρεῖαι, τῆς μάχης ἔτι συνεστώσης, ἐπιπεσοῦσαι, διέστησαν αὐτοὺς ἀπ' ἀλλήλων, καὶ ὁ ἀγὼν ὑπὸ τῆς ἄνωθεν ἐκπλήξεως διελύθη. Σποράδες δὲ καὶ ὣς ἐς ὕλας οἱ Ῥωμαῖοι διαφεύγοντες[3], τρίτῃ μόλις ἡμέρᾳ συνῆλθον. Καὶ Τεύτονες ἐς Γαλάτας ἐχώρουν. (Ursin., *Ambass.*, Extr. XII, p. 352.)

1. Conj. de Mendelss. περιάγονται.

2. Tite-Live, *Epitom.*, LXIII ; Jul. Obsequens, *Prodiges*, XCVIII (36) : C. Cæcilio, Gneo Papyrio, coss. — Cimbri Teutonique Alpes transgressi, fœdam stragem Romanorum sociorumque fecerunt. — An de R. 641, av. J.-C. 113. — Cf. Strab., V, I, 8 ; Velleius, II, XII ; Eutrop., IL, 10, etc., etc.

3. *Sic* Ursinus ; Schweigh. propose διαφυγόντες, A M N διαφέροντες.

ambassadeurs ceux qui sont illustres emmènent avec eux des gens de cette sorte. Celui-ci demanda grâce pour les chefs des Salyes, mais sans rien obtenir.

XIII (O). Une partie des Teutons, — une foule d'hommes, — s'était jetée, pour les piller, sur les terres des Nôriques. Le consul des Romains Papirius Carbon, craignant qu'ils ne se jetassent sur l'Italie, se posta dans les *Alpies*, là où le passage est le plus étroit. Comme les Teutons ne l'attaquaient pas, il marcha lui-même contre eux, leur faisant un crime de s'être jetés sur les Nôriques qui étaient les hôtes des Romains. Les Romains se faisaient des hôtes de certains peuples à qui ils accordaient leur amitié sans être obligés de les secourir en qualité d'amis. Carbon approchant, les Teutons lui envoyèrent dire qu'ils ignoraient les relations d'hospitalité des Nôriques avec les Romains, et qu'à l'avenir ils se tiendraient en dehors de chez eux. Carbon approuva ces paroles des envoyés, leur donna des guides, mais non sans avoir enjoint secrètement de les conduire par le chemin le plus long. Quant à lui, il courut par le plus court, et tandis que les Teutons dormaient encore, il tomba sur eux à l'improviste; mais, en punition de sa déloyauté, il perdit un grand nombre des siens; et peut-être même les eût-il tous perdus, si les ténèbres, la pluie, de violents coups de tonnerre assaillant les combattants encore aux prises, ne les avait séparés et si cette terreur d'en haut n'avait mis fin à la lutte. Mais dans ces circonstances même, les Romains, fuyant épars à travers les forêts, se rallièrent à grand'peine au bout de trois jours. Les Teutons passèrent dans le pays des Galates (Gaulois).

XIV. Ὁ δὲ τοῖς σώμασι τῶν Κίμβρων ἀψαυστεῖν ἐκέλευεν, ἕως ἡμέρα γένηται, πολύχρυσα εἶναι δοκῶν. (Suidas, vv. ἀψαύστως et Κίμβρων.)

XV. Ὅτι ἔθνη δύο Τιγύριοι[1] καὶ Ἐλουήτιοι ἐς τὴν Ῥωμαίων Κελτικὴν ἐσέβαλον. Καὶ τούτων τὸν στόλον ὁ Καῖσαρ Γάιος πυθόμενος, διετείχισεν ὅσα περὶ Ῥοδανόν[2] ἐστι ποταμὸν ἐς ἑκατὸν καὶ πεντήκοντα σταδίους μάλιστα. Καὶ πρεσβευσαμένοις ἐπὶ διαπείρᾳ τοῖς πολεμίοις ὑπὲρ σπονδῶν, ἐκέλευεν ὅμηρα δοῦναι καὶ χρήματα. Ἀποκριναμένων δ', εἰθίσθαι ταῦτα λαμβάνειν, οὐ διδόναι · βουλόμενος φθάσαι τὴν ὁμαιχμίαν αὐτῶν, ἐπὶ μὲν τοὺς Τιγυρίους, ἐλάσσους ὄντας, ἔπεμπε Λαβιῆνον · αὐτὸς δὲ ἐπὶ τοὺς Ἐλουητίους ἐχώρει, προσλαβὼν Γαλατῶν τῶν ὀρείων ἐς δισμυρίους. Καὶ γίγνεται Λαβιήνῳ τὸ ἔργον εὐμαρές, ἀδοκήτοις[3] Τιγυρίοις περὶ τὸν ποταμὸν ἐπιπεσόντι, καὶ τρεψαμένῳ καὶ σκεδάσαντι τοὺς πολλοὺς ἐν ἀσυνταξίᾳ. (Ursin., *Ambass.*, Extr. XIII, p. 352.)

XVI. Ὅτι Ἀριοούιστος[4], Γερμανῶν βασιλεὺς τῶν ὑπὲρ Ῥῆνον, ἐπιβαίνων τῆς πέραν, Αἰδούοις ἔτι πρὸ τοῦ Καίσαρος ἐπολέμει, φίλοις οὖσι Ῥωμαίων. Τότε μὲν δὴ τοῖς Ῥωμαίοις κελεύουσι πεισθείς, ἀνέζευξεν ἀπὸ τῶν Αἰδούων,

1. Ursin. Τιγυρινοὶ, A M N Λιγύριοι. — Cf. *supr.*, Extr. des *Celtiques*, p. 12-13 et ss.

2. M ῥοδανὸν, N ῥόδαν, A ῥοδὰν.

3. Mendelss. propose ἀδοκήτως, avec le signe du doute.

4. Cf. *supr.*, Extr. des *Celtiques*, *ibid.* — Divitiac, dans César, *G. G.*, I, xxxi, donne aussi le titre de *roi* à ce chef des Germains : « Sed pejus victoribus Sequanis, quam Æduis victis accidisse, propterea quod *Ariovistus*, *REX Germanorum*, in eorum finibus consedisset, etc. » On se rappelle que, selon Plutarque, *César*, XIX, 1 (cf. Dion Cassius, XXXVIII, 34), Arioviste, en 59, sous le consulat de César, avait reçu « le titre de *roi* et d'ami. »

XIV (O). Il (Marius) ordonna de ne point toucher aux cadavres des Cimbres jusqu'au lendemain matin, croyant qu'ils étaient chargés d'or.

XV (O). Deux peuples, les *Tigyrii* et les *Elvètii*, s'étaient jetés sur la Celtique romaine[1]. Cæsar Gaïus, informé de leur marche, fait barrer par un mur la rive du Rhodan sur un espace de cent cinquante stades à peu près. Et quand des ambassadeurs viennent de la part des ennemis le sonder au sujet d'un traité, il leur ordonne de lui livrer des otages et de l'argent. Mais ces gens-là lui répondirent qu'ils avaient accoutumé d'en recevoir et non d'en donner[2]. Voulant alors prévenir la jonction de ces peuples, il envoya Labiènus contre les *Tigyrii* qui étaient les moins nombreux, et de sa personne il marcha contre les *Elvètii*, ayant pris avec lui environ deux mille Galates de la montagne. La tâche de Labiènus fut facile. Il tomba à l'improviste sur les *Tigyrii* près du fleuve, les mit en fuite et en dispersa la plupart en grand désarroi[3].

XVI (O). Arioviste, roi des Germains d'outre-Rhèn, ayant passé le fleuve, faisait, déjà avant l'arrivée de Cæsar, la guerre aux *Ædues* qui étaient les amis des Romains. Obéissant alors aux ordres des Romains, il avait quitté le pays des Ædues et demandé le titre

1. An de Rome 695, av. J.-C. 58.

2. César, *G. G.*, I, xiv : Divico respondit : « ita Helvetios a majoribus suis institutos esse, uti obsides accipere, non dare consuerint : ejus rei populum Rom. esse testem. »

3. Comp. César, *G. G.*, I, xii. — Selon lui, c'est César qui défit les Tigurins. Plutarque, *César*, XVIII (notre t. III, p. 222-223), s'accorde avec Appien. — V. plus haut, p. 12-15, ce que dit Appien lui-même.

καὶ φίλος ἠξίωσε Ῥωμαίοις γενέσθαι· καὶ ἐγένετο, ὑπατεύοντος αὐτοῦ Καίσαρος καὶ ψηφισαμένου. (Id., *Ambass.*, Extr. XIX, p. 353.)

XVII. Ὅτι Ἀριοούϊστος, ὁ Γερμανῶν βασιλεὺς, φίλος γενόμενος Ῥωμαίων, ἐς λόγους ἦλθε τῷ Καίσαρι. Καὶ διαχωρισθέντων ἀπ' ἀλλήλων, αὖθις συνελθεῖν ἐς λόγους ἠξίωσεν. Τοῦ δὲ Καίσαρος οὐ συνελθόντος, ἀλλὰ τοὺς πρωτεύοντας Γαλατῶν ἀποστείλαντος, ἔδησε τοὺς πρέσβεις. Καὶ ὁ Καῖσαρ ἐστράτευεν ἐπ' αὐτὸν μετ' ἀπειλῆς. Δέος δ' ἐμπίπτει τῷ στρατῷ κατὰ κλέος τῶν Γερμανῶν. (Id., *Ambass.*, Extr. XV, p. 353.)

XVIII. Ὅτι Οὐσιπέται[1], ἔθνος Γερμανικὸν, καὶ Ταγχρέαι[2], δοκοῦσι πρότεροι σφετέροις ἱππεῦσιν ὀκτακοσίοις τρέψασθαι τῶν Καίσαρος ἱππέων ἐς πεντακισχιλίους· ὁ δὲ Καῖσαρ αὐτοῖς πρεσβευομένοις ἐς αὐτὸν ἐπιθέσθαι, τοὺς πρέσβεις κατασχών· καὶ τὸ πάθος ἐκείνοις ἐς τέλος αἰφνίδιον οὕτω συνενεχθῆναι, ὡς τεσσαράκοντα μυριάδας τούτων συγκοπῆναι. Κάτωνά τε ἐν Ῥώμῃ, τῶν τις συγγραφέων φησὶ, γνώμην ἐσενεγκεῖν, ἐκδοῦναι τοῖς βαρβάροις τὸν Καίσαρα, ὡς ἐναγὲς ἔργον ἐς διαπρεσβευσαμένους ἐργασάμενον. Ὁ δὲ Καῖσαρ ἐν ταῖς ἰδίαις ἀναγραφαῖς τῶν ἐφημέρων ἔργων[3] φησὶ, τοὺς Οὐσιπέτας[4] καὶ Ταγχρέας κελευομένους ἐκπηδᾷν ἐς τὰ ἀρχαῖα σφῶν, φάναι· πρέσβεις ἐς τοὺς ἐκβαλόντας Σουήβους[5] ἀπεσταλκέναι,

1. *Sic* Schweigh., A M οἱ απέται (*sic*) N οἱ ἀπέται, Urs. οἱ οὐσιπέται.
2. Urs., d'après l'Abrég., *supr.*, p. 16-17, Ταγχρέαι, A ταγχρεῖς, N ταγχροῖς. Mendelss. conjecture que dans ces deux endroits et dans le *Celt.*, I, 4, Appien peut bien avoir écrit Τεγχρέαι.
3. Nipperd., Prol. Cæs., éd. 1847, p. 5 et s., propose ἐν ταῖς ἐφημέροις ἀναγραφαῖς τῶν ἰδίων ἔργων.
4. A M N οἰσυπέτας.
5. *Sic* Ursin., A M N νήβους.

d'ami des Romains, et ce titre lui avait été accordé grâce à un décret proposé par Cæsar alors consul [1].

XVII (O). Arioviste, le roi des Germains, qui avait obtenu le titre d'ami des Romains, était venu pour conférer avec Cæsar : la conférence rompue, il en avait demandé une nouvelle. Mais Cæsar ne s'y était pas rendu ; il y avait envoyé les principaux des Galates (Gaulois). Arioviste les jeta en prison, et Cæsar, avec force menaces, marcha en armes contre lui ; mais son armée fut frappée de terreur par la grande renommée des Germains [2].

XVIII (O). Les Usipètes, peuple germanique, et les Tanchrées paraissent avoir les premiers, avec huit cents chevaux, mis en déroute jusqu'à cinq mille cavaliers de Cæsar [3]. Mais Cæsar, à qui ils avaient envoyé des députés, aurait retenu ces députés et les aurait attaqués à leur tour, et tel aurait été finalement le désastre que leur aurait infligé cette attaque soudaine qu'il y en aurait eu environ quarante myriades taillés en pièces. A Rome, à ce que dit un historien [4], Caton ouvrit l'avis de livrer aux barbares Cæsar comme l'auteur d'un acte exécrable envers des députés : Cæsar, dans les écrits où ses actes sont relatés jour par jour [5], dit que les Usipètes et Tanchrées, sur son ordre de retourner dans leurs anciennes demeures,

1. César, *ib.*, XXXV. — Plut., *César*, XIX, notre t. III, p. 224-225.
2. Cet extrait est un résumé peu exact des *Comment.*, I, 35-53.
3. César, *ibid.*, IV, 12.
4. Tanusius ou Canusius Géminus. V. notre t. III, p. 236-237.
5. Ses *Ephémérides*, notes prises au jour le jour et différentes des *Commentaires*, ὑπομνήματα. — V. notre tome III, *ibid.* — Voici le passage de Servius (in XI *Æneid.*, v. 743) indiqué dans la note :

καὶ τὰς ἀποκρίσεις αὐτῶν ἀναμένειν· καὶ ἐν ταῖσδε ταῖς διαπρεσβεύσεσιν ἐπιθέσθαι τοῖς ὀκτακοσίοις, καὶ παρ' αὐτὸ τρέψαι τοὺς Ῥωμαίων πεντακισχιλίους. Ἐπιπρεσβευομένων δ' αὐτῶν καὶ περὶ τοῦ παρασπονδήματος ἀπολογουμένων, ὑποτοπήσας ἐνέδραν ὁμοίαν, ἐπιθέσθαι πρὸ τῶν ἀποκρίσεων[1]. (Id., *Ambass.*, Extr. XVI, p. 353.)

XIX. Εὐθὺς ἠρέθιζον τοὺς Βρεττανοὺς παρορκῆσαι, ἔγκλημα ἔχοντας, ὅτι, σπονδῶν σφίσι γενομένων, ἔτι παρῇ τὸ στρατόπεδον. (Suidas, v. παρορκῆσαι.)

XX. Δείσας ὁ Καῖσαρ περὶ τῷ Κικέρωνι[2] ὑπέστρεφεν εἰς τοὐπίσω. (Suidas, v. δείσας.)

XXI. Ὅτι ὁ Βριτόρης διέφθειρεν Αἰδούους Ῥωμαίων ἀποστῆναι, καὶ τοῦ Καίσαρος ὀνειδίσαντος αὐτοῖς φιλίαν ἔφασαν παλαιὰν ἐφθακέναι. (A. Mai, nouv. collect., t. II, p. 367.)

Ἐκ [τῆς βίβλου Ε'] τῆς Σικελικῆς καὶ Νησιωτικῆς.

II, 3. Καταλυθέντος δὲ τοῦ πολέμου τοῦδε, Κελτοὶ Καρχηδονίους τόν τε μισθὸν ᾔτουν τὸν ἔτι ὀφειλόμενον σφίσιν ἐκ Σικελίας, καὶ δωρεὰς ὅσας ὑπέσχητο αὐτοῖς[3]

1. Sur les rapports des Suèves avec les Usipètes et les Tenctères, v. Cæsar, *G. G.*, IV, 1, 4, 16, 18 ; VI, 35. — Ces deux peuples, chassés par les Suèves, avaient trouvé un refuge chez les Sicambres.
2. Sur ce péril de Cicéron chez les *Nervii*, v. César, *G. G.*, V, 38 et ss.
3. *Sic* Schw., Urs. ὑπέσχη αὐτοῖς, A M N ὑπέσχη τοῖς.

affirmèrent avoir envoyé des députés aux Suèves qui les en avaient chassés, et attendre leur réponse ; que, pendant ces allées et venues de députés, ils attaquèrent avec huit cents hommes et mirent cinq mille Romains en déroute, qu'ensuite ils lui envoyèrent encore des députés pour se justifier au sujet de cette violation de la trêve, mais que, soupçonnant encore quelque embûche semblable, il les avait attaqués avant de leur répondre.

XIX (O). Aussitôt ils excitèrent les Brettans à violer leurs serments en alléguant ce grief que, en dépit des traités, il y avait encore chez eux une armée[1].

XX (O). Cæsar, craignant pour Cicéron, retourna sur ses pas.

XXI (O). Britorès sollicita les Ædues de se séparer des Romains, et aux reproches que leur en fit Cæsar, ils répondirent qu'une ancienne amitié avait pris les devants.....

[Livre V] *Sicélique et Nèsiôtique*[2] (Fragments).

II, 3 (O). Cette guerre[3] terminée, les Celtes réclamèrent des *Carchèdonii* la solde qui leur restait due depuis l'expédition de Sicélie (Sicile) et les gratifica-

« C. Julius Cæsar, cum dimicaret in Gallia, et ab hoste raptus equo ejus portaretur armatus, occurrit quidam de hostibus, qui eum nosset, et insultans ait : *Cecos Cæsar*, quod Gallorum lingua *Dimitte* significat ; et ita factum est ut dimitteretur. Hoc autem ipse Cæsar in *Ephemeride* sua dicit, ubi propriam commemorat felicitatem. » — Ce fait ne se trouve pas dans les *Commentaires*.

1. Il s'agit des chefs des Bretons. Cf. César, *G. G.*, IV, 30.
2. Concernant la Sicile et les Iles.
3. La deuxième guerre punique.

δώσειν Ἀμίλχαρ. Ἦτουν δὲ καὶ Λίβυες, ὑπήκοοι μὲν ὄντες οἵδε Καρχηδονίων, ἀπὸ δὲ τῆς ἐν Σικελίᾳ στρατείας ἐπὶ φρονήματος γεγονότες, καὶ τοὺς Καρχηδονίους ἀσθενεῖς καὶ ταπεινοὺς ὁρῶντες· ἐχαλέπαινόν τε αὐτοῖς τῆς ἀναιρέσεως τῶν τρισχιλίων, οὓς ἐσταυρώκεσαν τῆς ἐς Ῥωμαίους μεταβολῆς οὕνεκα. Διωθουμένων δὲ τῶν Καρχηδονίων ἑκατέρους, κατέλαβον ἄμφω Τύνητα [1] πόλιν, καὶ Ἰτύκην, ἣ μεγίστη Λιβύης ἐστὶ μετὰ Καρχηδόνα· ὅθεν ὁρμώμενοι, τήν τε ἄλλην [2] ἀφίστανον, καὶ τῶν Νομάδων τινὰς ἔπειθον, καὶ δούλων πολὺ πλῆθος ἀποδιδρασκόντων ὑπεδέχοντο, τά τε Καρχηδονίων πάντα ἐλεηλάτουν [3]. (Urs., Extr. II, *Ambass.*, p. 354.)

[Βίβλος ς'] Ἰβηρική.

I. (H. Est., p. 255.) Ὄρος ἐστὶ Πυρήνη διῆκον ἀπὸ τῆς Τυρρηνικῆς θαλάσσης ἐπὶ τὸν Βόρειον ὠκεανόν. Οἰκοῦσι δ' αὐτοῦ πρὸς μὲν ἕω Κελτοί, ὅσοι Γαλάται τε καὶ Γάλλοι νῦν προσαγορεύονται· πρὸς δὲ δύσεων, Ἴβηρές τε καὶ Κελτίβηρες, ἀρχόμενοι μὲν ἀπὸ τοῦ Τυρρηνικοῦ πελάγους, περιιόντες δ' ἐν κύκλῳ διὰ τῶν Ἡρακλείων στηλῶν ἐπὶ τὸν Βόρειον ὠκεανόν. Οὕτως ἐστὶν ἡ Ἰβηρία περίκλυστος, ὅτι μὴ τῇ Πυρήνῃ μόνῃ, μεγίστῳ τῶν Εὐρωπαίων ὀρῶν, καὶ ἰθυτάτῳ σχεδὸν ἁπάντων. Τοῦ δὲ

1. Les mêmes τήνητα.
2. Schw. propose d'ajouter Λιβύην.
3. Une note à la marge du ms. indique que cet extrait appartient au livre *de la Sicile et des Iles*. Urs.

tions que leur avait promises Amilchar. De leur côté, les Libyes (Africains) élevèrent les mêmes réclamations. Ils étaient bien les sujets des *Carchèdonii*, mais l'expédition de Sicelie leur avait donné de l'orgueil, et cela d'autant plus qu'ils voyaient les *Carchèdonii* affaiblis et abattus. Puis, ils leur en voulaient du supplice de trois mille d'entre eux qui avaient été mis en croix pour avoir passé aux Romains. Les *Carchèdonii* repoussant les demandes des uns et des autres, ils s'emparèrent ensemble de la ville de Tynète[1] et de celle d'Itykè[2] qui est la plus grande de la Libye après Carchèdon[3]. De là ils s'élancent ; ils font révolter tout le reste, gagnent quelques-uns des Nomades[4], accueillent une foule d'esclaves fugitifs et portent le ravage partout chez les *Carchèdonii*.

[Livre VI] *Ibèrique*.

I. La Pyrènè est une montagne qui court de la mer *tyrrhènique* jusqu'à l'océan boréal. Vers l'est habitent les Celtes qui aujourd'hui sont appelés Galates et Galls. (O) Au couchant sont les Ibères et les Celtibères qui partent de la mer *tyrrhènique*, ont pour limites une ligne courbe passant par les Colonnes Hèraclées et aboutissent à l'océan boréal. Ainsi l'Ibèrie est toute entourée d'eau, excepté du côté de la Pyrènè, la plus grande des montagnes de l'Europe et presque la plus

1. Tunis.
2. Utique.
3. Carthage.
4. Numides.

περίπλου τοῦδε, τὸ μὲν Τυρρηνικὸν πέλαγος διαπλέουσιν ἐπὶ τὰς στήλας τὰς Ἡρακλείους · τὸν δ' Ἑσπέριον καὶ τὸν Βόρειον ὠκεανὸν οὐ περῶσιν, ὅτι μὴ πορθμεύεσθαι μόνον ἐπὶ Βρεττανοὺς · καὶ τοῦτο, τοῖς ἀμπώτεσι τοῦ πελάγους συμφερόμενοι. Ἔστι δ' αὐτοῖς ὁ διάπλους ἥμισυ ἡμέρας.....

II. (H. Est., p. 256.) Οἵ τινες δ' αὐτὴν οἰκῆσαι πρῶτοι νομίζονται, καὶ οἳ μετ' ἐκείνους κατέσχον, οὐ πάνυ μοι ταῦτα φροντίζειν ἀρέσκει, μόνα τὰ Ῥωμαίων συγγράφοντι. Πλὴν ὅτι Κελτοί μοι δοκοῦσί ποτε, τὴν Πυρήνην ὑπερβάντες, αὐτοῖς συνοικῆσαι · ὅθεν ἄρα καὶ τὸ Κελτιβήρων ὄνομα ἐρρύη.....

IV. (H. Est., p. 257.) ..... Ἤρξαντο (οἱ Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι) δὲ αὐτοῦ μεθ' ἑκατὸν καὶ τεσσαράκοντα Ὀλυμπιάδας μάλιστα, ὅτε τὰς σπονδὰς ἔλυσαν, αἳ ἐπὶ τῷ Σικελικῷ πολέμῳ σφίσιν ἦσαν γενόμεναι. Ἔλυσαν δ' ἐκ τοιᾶσδε προφάσεως · Ἀμίλχαρ ὁ Βάρκας ἐπίκλησιν, ὅτε περ ἐν Σικελίᾳ Καρχηδονίων ἐστρατήγει, Κελτοῖς τότε μισθοφοροῦσίν οἱ, καὶ Λιβύων τοῖς συμμαχοῦσιν, πολλὰς δωρεὰς ὑπέσχητο δώσειν · ἃς, ἐπειδὴ ἐπανῆλθεν ἐς Λιβύην, ἀπαιτούντων ἐκείνων, ὁ Λιβυκὸς Καρχηδονίοις ἐξῆπτο πόλεμος.

XIII. (H. Est., p. 262.) ..... Γαλάταις τε διεπρεσβεύετο (ὁ Ἀννίβας), καὶ τὰς διόδους τῶν Ἀλπίων ὀρῶν κατεσκέπτετο · καὶ διῆλθεν, Ἀσδρούβαν τὸν ἀδελφὸν ἐν Ἰβηρίᾳ** [1].

1. Lacune. H. Estienne la remplissait au moyen du mot καταλιπών emprunté au liv. VII, *Annibal.* c. V. Cl. de Seyssel : « et les franchit, après avoir *commandé* l'Espagne à Asdrubal, son frère. » Il suppléait sans doute διαπιστεύσας ou ἐπιτρέψας.

escarpée de toutes. De ce *périple*, leurs navigateurs ne fréquentent qu'une partie, la mer *tyrrhènique* jusqu'aux Colonnes Hèraclées : ils ne traversent l'océan occidental et le boréal que pour passer chez les Brettans, et cela à la faveur du reflux : or, ce trajet est d'une demi-journée.....

II (O). Quels ont été, à ce qu'on croit, les premiers habitants de l'Ibèrie et ceux qui l'ont possédée après eux, je n'ai pas la moindre envie de m'en occuper, n'écrivant ici que l'histoire des Romains. Seulement je puis dire que les Celtes me paraissent avoir jadis franchi la Pyrènè et avoir habité avec les premiers occupants. De là est venu le nom de Celtibères.....

IV. ..... (O). Ils (les Romains et les *Carchèdonii*) commencèrent cette guerre[1] après la CXL^{e} olympiade, date précise, quand ils rompirent les traités qui, après la guerre de Sicélie, avaient été conclus entre eux. Or, voici à quel propos furent rompus ces traités. Amilchar, surnommé le Barcas, quand il commandait en Sicélie l'armée des *Carchèdonii*, avait promis aux Celtes qui étaient alors à sa solde, et à ceux des Libyes (Africains) qui étaient ses alliés, maintes gratifications ; puis, à son retour en Libye, ils les réclamèrent, et ainsi s'alluma la guerre *libyque* contre les *Carchèdonii*, etc.

XIII (O). ..... Il (Annibas) envoya des députés aux Galates (Gaulois) et fit explorer les passages des *Alpies ;* il les franchit, en effet, [ayant laissé] son frère Asdrubas en Ibèrie.....

1. La deuxième guerre punique. CXL^{e} Ol. 3, 536 de Rome, av. J.-C. 218.

XIV. ..... Τούτοιν ὁ μὲν Πούπλιος, παρὰ Μασσαλιωτῶν ἐμπόρων πυθόμενος Ἀννίβαν διὰ τῶν Ἀλπίων ὀρῶν ἐς τὴν Ἰταλίαν ὑπερβάντα, δείσας μὴ ἀδοκήτως τοῖς Ἰταλιώταις ἐπιπέσοι, παραδοὺς Γναίῳ τῷ ἀδελφῷ τὴν ἐν Ἰβηρίᾳ στρατιὰν, διέπλευσεν ἐπὶ πεντήρους ἐς Τυρρηνίαν..... [1].

XVII. (H. Est., p. 263.) ..... Οὐδενὸς δὲ λαμπροῦ παρὰ τῶνδε (τοῦ Μαρκέλλου καὶ τοῦ Κλαυδίου) γιγνομένου, τὰ Λιβύων ὑπερηύξετο [2], καὶ πᾶσαν σχεδὸν Ἰβηρίαν εἶχον, ἐς βραχὺ Ῥωμαίων ἐν τοῖς ὄρεσι τοῖς Πυρηναίοις κατακεκλεισμένων.....

XXVIII. (H. Est., p. 270.) ..... Ἀσδρούβαν δὲ τὸν Ἀμίλχαρος, περὶ τὸν Βόρειον ὠκεανὸν στρατιὰν ἔτι συλλέγοντα, ὁ ἀδελφὸς Ἀννίβας ἐκάλει [3], κατὰ σπουδὴν ἐς τὴν Ἰταλίαν ἐσβαλεῖν. Ὁ δὲ, ἵνα λάθοι τὸν Σκιπίωνα, παρὰ τὸν Βόρειον ὠκεανὸν τὴν Πυρήνην ἐς Γαλάτας ὑπερέβαινεν, μεθ' ὧν ἐξενολογήκει Κελτιβήρων. Καὶ ὁ μὲν Ἀσδρούβας ὧδε ἐς τὴν Ἰταλίαν, τῶν Ἰταλῶν ἀγνοούντων, ἠπείγετο.

[Βίβλος Ζ'] Ἀννιβαϊκή.

IV. (H. Est., p. 315.) ..... Ἐπιλεξάμενος δὲ Κελτιβήρων τε καὶ Λιβύων καὶ ἑτέρων ἐθνῶν ὅτι πλείστους [4],

1. Comp. Polybe, III, XLIX (notre t. II, p. 156-7), LVI (*ib.*, p. 178-9) et LXXVI (*ib.*, p. 230-1).

2. *Vulg.* ὑπερηύξατο, corrigé par Schw. — Reiske proposait ὑπερηυξάνετο.

3. Comp. pl. bas, VII; *Annib.*, LII; Tite-Live, XXVII, 35, 36.

4. Passage cité par Suidas, v. ψαφαρόν (15 lignes environ), avec quelques variantes.

XIV (O). ..... L'un des deux (Scipions), Puplius, informé par des marchands massaliôtes qu'Annibas franchissait les monts *Alpies* pour descendre en Italie, craignit qu'il ne tombât à l'improviste sur les Italiôtes. Remettant donc à son frère Gnæus l'armée [destinée à opérer] en Ibèrie, il cingla vers la Tyrrhènie sur une galère à cinq rangs de rames.....

XVII (O). ..... Comme ils (les généraux romains Cl. Marcellus[1] et Cl. Néron) n'obtinrent (en Ibèrie) aucun brillant succès, les affaires des Libyes y prospérèrent à merveille. L'Ibèrie presque tout entière fut à eux, et en peu de temps les Romains se trouvèrent enfermés dans les monts Pyrènæes.....

XXVIII (O). ..... Asdrubas, fils d'Amilchar, était encore occupé à rassembler une armée sur les côtes de l'océan boréal, quand son frère Annibas l'appelle en Italie : il devait se hâter d'y venir. Ce général, pour cacher ses mouvements à Scipion, franchit la Pyrènè près de l'océan boréal et descend chez les Galates (Gaulois) avec les Celtibères qu'il avait enrôlés. Ainsi Asdrubas courut en Italie à l'insu des Itales.

[Livre VII] *Annibaïque.*

IV. Annibas, ayant enrôlé chez les Celtibères, les Libyes et d'autres peuples le plus d'hommes possible et ayant remis les affaires d'Ibèrie à son frère Asdru-

1. Erreur ; jamais Cl. Marcellus, le héros de la Sicile, ne fut envoyé en Espagne. Appien le confond sans doute avec le chevalier romain L. Marcius qui, après la mort des Scipions, releva en Espagne les affaires de Rome. — An de R. 543, av. J.-C. 210. — V. Tite-Live, XXV, 37.

καὶ τὰ ἐν Ἰβηρίᾳ παραδοὺς Ἀσδρούβᾳ τῷ ἀδελφῷ, τὰ Πυρηναῖα ὄρη διέβαινεν[1] ἐς τὴν Κελτικὴν, τὴν νῦν λεγομένην[2] Γαλατίαν· ἄγων πεζοὺς ἐννεακισμυρίους, καὶ ἱππέας ἐς δισχιλίους ἐπὶ μυρίοις, καὶ ἐλέφαντας ἑπτὰ καὶ τριάκοντα. Γαλατῶν δὲ τοὺς μὲν ὠνούμενος, τοὺς δε πείθων, τοὺς δὲ καὶ βιαζόμενος, διώδευε τὴν χώραν. Ἐλθὼν δὲ ἐπὶ τὰ Ἄλπια ὄρη, καὶ μηδεμίαν μήτε δίοδον μήτε ἄνοδον εὑρὼν (ἀπόκρημνα γάρ ἐστιν ἰσχυρῶς), ἐπέβαινε κἀκείνοις ὑπὸ τόλμης, κακοπαθῶν· χιόνος τε πολλῆς οὔσης καὶ κρύους, τὴν μὲν ὕλην τέμνων τε καὶ κατακαίων, τὴν δὲ τέφραν σβεννὺς ὕδατι καὶ ὄξει, καὶ τὴν πέτραν ἐκ τοῦδε ψαφαρὰν γιγνομένην[3], σφύραις σιδηραῖς θραύων καὶ ὁδοποιῶν[4]. Ἣ καὶ νῦν ἐστιν ἐπὶ τῶν ὀρῶν ἐντριβὴς, καὶ καλεῖται δίοδος Ἀννίβου. Τῶν δὲ τροφῶν αὐτὸν ἐπιλειπουσῶν, ἠπείγετο μὲν, ἔτι λανθάνων ὅτι καὶ πάρεστιν ἐς τὴν Ἰταλίαν. Ἕκτῳ δὲ μόλις ἀπὸ τῆς ἐξ Ἰβήρων ἀναστάσεως μηνὶ, πλείστους ἀποβαλὼν, ἐς τὸ πεδίον ἐκ τῶν ὀρῶν κατέβαινεν.

V. (H. Est., p. 316.) Καὶ μικρὸν ἀναπαύσας, προσέβαλλε Ταυρασίᾳ[5], πόλει Κελτικῇ. Κατὰ κράτος δὲ αὐτὴν ἐξελὼν, τοὺς μὲν αἰχμαλώτους ἔσφαξεν, ἐς κατάπληξιν τῆς ἄλλης Κελτικῆς. Ἐπὶ δὲ ποταμὸν Ἠριδανὸν, τὸν νῦν Πάδον λεγόμενον, ἐλθὼν, ἔθνα Ῥωμαῖοι Κελτοῖς τοῖς καλουμένοις Βοιοῖς ἐπολέμουν, ἐστρατοπέδευσεν. Ὁ δ'

1. Suid. : διαβὰς τὰ Πυρηναῖα ὄρη, διέβη καὶ ἐς τὴν Κ.
2. Omis dans Suidas.
3. Suid. τὴν δὲ φλόγα σβεννὺς, ὕδατι καὶ ὄξει καὶ τὴν τέφραν τοῦδε ψαφαρὰν γενομένην κ. τ. λ.
4. Musgrav. conject. ὁδὸν ποιῶν, Schw. ὁδοποιῶν <δίοδον>, Mendels. <ὁδὸν> ὁδοποιῶν ; il écrit ὁδὸν ποιῶν.
5. *Sic* dans Steph. Byzant.

bas, passa par les monts Pyrènæes dans la Celtique appelée aujourd'hui Galatie. Il emmenait avec lui 90,000 fantassins, 12,000 chevaux environ et trente-sept éléphants. Des Galates (Gaulois) il achète les uns, use envers les autres de persuasion ou de violence et peut ainsi faire route par leur pays. Arrivé aux monts *Alpies*, comme il ne trouve aucune route pour passer à travers ou par-dessus ces montagnes fortement escarpées, il entre, il avance à force d'audace, bravant les fatigues. Il y avait d'énormes couches de neige et de glace; il fait abattre et brûler une forêt, et, après avoir éteint le brasier immense avec de l'eau et du vinaigre, la roche ainsi rendue friable, il la brise avec des marteaux de fer et s'y ouvre une route. Ce chemin frayé dans les montagnes existe encore aujourd'hui et s'appelle le Pas d'Annibal[1]. Puis, comme les vivres faisaient défaut, il se hâte, et l'on ignorait encore sa marche que, déjà, il approchait de l'Italie. Ainsi à peine six mois après son départ de l'Ibèrie, ayant fait, il est vrai, de grandes pertes, il descend des monts dans la plaine.

V. Après avoir pris un peu de repos, il attaque Taurasie[2], ville celtique, et, l'ayant emportée de vive force, il fait égorger les prisonniers pour frapper de terreur le reste de la Celtique. Arrivé au fleuve de l'Eridan, appelé aujourd'hui le Pade, dans la contrée où les Romains faisaient la guerre aux Celtes surnommés Boïes, il y campa. Le consul des Romains Puplius

1. Sur ces faits comp. Polybe, III, 55, dans notre t. II, p. 174-175; Tite-Live, XXI, 37; Timagène dans Amm. Marcellin (notre t. II, p. 338-339).
2. Turin (?).

ὕπατος ὁ Ῥωμαίων Πούπλιος Κορνήλιος Σκιπίων, Καρχηδονίοις ἐν Ἰβηρίᾳ πολεμῶν, ἐπεὶ τῆς ἐσβολῆς Ἀννίβου τῆς ἐς τὴν Ἰταλίαν ἐπύθετο, τὸν ἀδελφὸν καὶ ὅδε Γναῖον Κορνήλιον Σκιπίωνα ἐπὶ τοῖς ἐν Ἰβηρίᾳ πράγμασι καταλιπὼν, διέπλευσεν ἐς Τυρρηνίαν. Ὅθεν ὁδεύων τε καὶ συμμάχους ὅσους δύναιτο ἀγείρων, ἔφθασεν ἐπὶ τὸν Πάδον Ἀννίβαν. Καὶ Μάλλιον [1] μὲν καὶ Ἀτίλιον, οἳ τοῖς Βοιοῖς ἐπολέμουν, ἐς Ῥώμην ἔπεμψεν, ὡς οὐ δέον αὐτοὺς ἔτι στρατηγεῖν, ὑπάτου παρόντος· αὐτὸς δὲ τὸν στρατὸν παραλαβὼν, ἐς μάχην ἐξέτασσεν πρὸς Ἀννίβαν. Καὶ γενομένης ἀκροβολίας τε καὶ ἱππομαχίας, οἱ Ῥωμαῖοι κυκλωθέντες ὑπὸ τῶν Λιβύων, ἔφευγον ἐς τὸ στρατόπεδον. Καὶ νυκτὸς ἐπιγενομένης, ἐς Πλακεντίαν ἀνεχώρουν, ἀσφαλῶς τετειχισμένην, τὸν Πάδον ἐπὶ γεφυρῶν περάσαντές τε, καὶ λύσαντες τὰς γεφύρας. Τὸν μὲν οὖν ποταμὸν καὶ ὁ Ἀννίβας ζεύξας ἐπέρα.

VI. Τὸ δ' ἔργον εὐθὺς τόδε, πρῶτον ἢ δεύτερον ἐπὶ τῇ τῶν Ἀλπίων ὀρῶν διαβάσει, παρὰ τοῖς ἐπέκεινα Κελτῶν ἐξῆρε τὸν Ἀννίβαν, ὡς ἄμαχον στρατηγὸν καὶ τύχῃ λαμπρᾷ χρώμενον. Ὁ δὲ, ὡς ἐν βαρβάροις τε καὶ τεθηπόσιν αὐτὸν, καὶ δι' ἄμφω δυναμένοις ἀπατᾶσθαι, τὴν ἐσθῆτα καὶ τὴν κόμην ἐνήλλασσε, συνεχῶς ἐσκευασμέναις ἐπινοίαις [2]. Καὶ αὐτὸν οἱ Κελτοὶ περιιόντα τὰ ἔθνη, πρεσβύτην ὁρῶντες, εἶτα νέον, εἶτα μεσαιπόλιον, καὶ συνεχῶς ἕτερον ἐξ ἑτέρου, θαυμάζοντες, ἐδόκουν θειοτέρας φύσεως λαχεῖν. Σεμπρώνιος δ' ὁ ἕτερος ὕπατος, ἐν Σικελίᾳ τότε ὢν, καὶ πυθόμενος, διέπλευσε πρὸς τὸν Σκιπίωνα, καὶ τεσσαράκοντα σταδίους αὐτοῦ διασχὼν ἐστρατοπέδευσε.

1. H. Est. Μάλλιον, le V. μάνλιον.

2. Schw. croit ce texte altéré. G. Hermann (ap. Nipperdeium) propose ἐσκευασμένος (νέαις) ἐπιν.

Cornèlius Scipion qui faisait la guerre aux *Carchèdonii* en Ibèrie, instruit de l'irruption d'Annibas en Italie, laisse, lui aussi, son frère Gnæus Cornèlius Scipion aux affaires d'Ibèrie et fait voile vers la Tyrrhènie. Puis il repart, et, rassemblant autant qu'il peut d'alliés, il devance Annibas sur le Pade. Mallius et Atilius qui faisaient la guerre aux Boïes sont renvoyés à Rome n'ayant plus d'armée à commander là où se trouvait un consul. Quant à lui, prenant leurs troupes, il les range en bataille contre Annibas. Dans une escarmouche et un combat de cavalerie, les Romains cernés par les *Libyes* s'enfuirent vers leur camp, et, la nuit venue, se retirèrent à Placentia qui était bien fortifiée, ayant passé le Pade sur des ponts qu'ils avaient ensuite rompus. Mais Annibas passa le fleuve de la même façon.

VI. Ce coup de main, le premier ou le second depuis le passage des monts *Alpies*, grandit Annibas aux yeux des Celtes par-delà : c'était un général invincible, dans tout l'éclat de sa fortune. Et lui, ayant affaire à des barbares qu'il étonnait, et qui, pour ces deux raisons, étaient faciles à tromper, changeait de vêtement et de chevelure en vue des plans qu'il dressait continuellement ; et les Celtes qui le voyaient aller et venir parmi leurs peuplades, tantôt vieux, tantôt jeune ou grisonnant, et passant continuellement d'une de ces figures à l'autre, en étaient émerveillés et le croyaient d'une essence plus divine[1]. — (O) Sempronius, l'autre consul, était alors en Sicélie; instruit [de ce qui se passe], il vient par mer trouver Scipion et campe à

1. Comp. Polybe, III, 78, dans notre t. II, p. 232-233 ; Tite-Live, XXII, 1.

(H. Est., p. 317.) Καὶ τῆς ἐπιούσης ἔμελλον ἅπαντες ἐς μάχην ἥξειν. Ποταμὸς δ' ἦν ἐν μέσῳ Τριβίας[1] ὃν Ῥωμαῖοι πρὸ ἕω, χειμερίου τε τῆς τροπῆς οὔσης καὶ ὑετοῦ καὶ κρύους, ἐπέρων, βρεχόμενοι μέχρι τῶν μαστῶν. Ἀννίβας δὲ καὶ ἐς δευτέραν ὥραν ἀνέπαυσε τὴν στρατιὰν, καὶ τότε ἐξῆγε.

VII. Παράταξις δ' ἦν ἑκατέρων.....[2] τὰ κέρατα κατεῖχον, ἀμφὶ τὴν φάλαγγα τῶν πεζῶν. Ἀννίβας δὲ τοῖς μὲν ἱππεῦσιν ἀντέταξε τοὺς ἐλέφαντας, τῇ δὲ φάλαγγι τοὺς πεζούς· τοὺς δὲ ἱππέας ἐκέλευσεν ὀπίσω τῶν ἐλεφάντων ἀτρεμεῖν, ἕως αὐτός τι σημήνῃ. Γενομένων δ' ἐν χερσὶ πάντων, οἱ μὲν Ῥωμαίων ἵπποι τοὺς ἐλέφαντας, οὐ φέροντες αὐτῶν οὔτε τὴν ὄψιν, οὔτε τὴν ὀδμὴν, ἔφευγον· οἱ δὲ πεζοὶ, καίπερ ὑπὸ τοῦ κρύους καὶ τοῦ ποταμοῦ καὶ τῆς ἀργυπνίας τετρυμένοι[3] τε καὶ μαλακοὶ ὄντες[4], ὅμως ὑπὸ τόλμης τοῖς θηρίοις ἐπεπήδων, καὶ ἐτίτρωσκον αὐτὰ, καί τινων καὶ τὰ νεῦρα ὑπέκοπτον, καὶ τοὺς πεζοὺς ἐνέκλινον ἤδη. Θεασάμενος δ' ὁ Ἀννίβας, ἐσήμηνε τὴν ἵππον κυκλοῦσθαι τοὺς πολεμίους. Ἐσκεδασμένων δ' ἄρτι τῶν Ῥωμαϊκῶν ἱππέων διὰ τὰ θηρία, καὶ τῶν πεζῶν μόνων τε ὄντων, καὶ κακοπαθούντων, καὶ δεδιότων τὴν περικύκλωσιν, φυγὴ πανταχόθεν ἦν ἐς τὰ στρατόπεδα. Καὶ

1. *Sic* le Vat. 141, suivi par tous les édit. jusqu'à Schweigh., qui écrit Τρεβίας.

2. Tous les édit. depuis H. Est. ont marqué ici une lacune. Schweigh. complétait ainsi : ἑκατέρων (τοιάδε· ἱππεῖς μὲν ὑπάτου ἑκατέρου) τα κ. κ· — Cl. de Seyssel, d'après le trad. lat. (Candide), rend : « L'ordonnance des deux costez estoit que les deux consuls estoient sur les esles à l'entour du corps de bataille de leurs gens de pied. »

3. Vat. τετρυμμένοι, peut-être pour τετριμμένοι ou τεθρυμμένοι.

4. *Sic, idem.* Leçon généralement adoptée. — Bekker μαλακιῶντες, à quoi Mendels. préférerait μαλκίοντες (*sic*).

quarante stades de son collègue. Le jour suivant, ils devaient tous aller au combat. Entre eux, il y avait une rivière, le Tribias. Les Romains la passèrent avant l'aurore par un temps d'hiver pluvieux et froid, ayant de l'eau jusqu'aux mamelles[1]. Annibas fit reposer son armée jusqu'à la deuxième heure, et alors il la mena à l'ennemi.

VII. L'ordonnance fut telle pour chacun des deux consuls..... Leur cavalerie occupa les ailes autour du corps de bataille formé de l'infanterie. Annibas à la cavalerie [ennemie] opposa ses éléphants, son infanterie aux légions..... Quant à ses cavaliers, il leur ordonna de se tenir sans bouger derrière les éléphants en attendant un signal de lui. Lorsqu'on en fut venu aux mains partout, les chevaux des Romains, en face des éléphants, ne pouvant en supporter ni la vue ni l'odeur, s'enfuirent. Les fantassins, bien qu'exténués par le froid, la traversée du fleuve, le manque de sommeil et tout transis, s'élancèrent bravement contre les *bêtes*[2]; ils les blessent, coupent à quelques-uns les nerfs [des jambes] et font déjà plier l'infanterie. Annibas qui s'en aperçoit donne à sa cavalerie le signal d'envelopper l'ennemi. Celle des Romains venait de se débander devant les *bêtes* : leurs gens de pied restaient seuls, bien maltraités, redoutant d'être enveloppés. Ils s'enfuient de toutes parts vers les camps.

1. Polybe, *ibid.*, p. 218-219, ἕως τῶν μαστῶν οἱ πεζοὶ βαπτιζόμενοι..... Les fantassins plongés dans l'eau jusqu'aux mamelles. — Tite-Live, XXI, 55 : et erat *pectoribus tenus* aucta (aqua) nocturno imbri.....

2. Les éléphants.

ἀπώλλυντο οἱ μὲν ὑπὸ τῶν ἱππέων καταλαμβανόντων ἅτε πεζούς, οἱ δὲ ὑπὸ τοῦ ποταμοῦ παραφέροντος. Τοῦ γὰρ ἡλίου τὴν χιόνα τήξαντος, ὁ ποταμὸς ἐρρύη μέγας · καὶ οὔτε στῆναι διὰ τὸ βάθος, οὔτε νεῖν διὰ τὰ ὅπλα ἐδύναντο. Σκιπίων δὲ, αὐτοῖς ἑπόμενος, καὶ παρακαλῶν, ὀλίγου μὲν ἐδέησε τρωθεὶς διαφθαρῆναι · μόλις δ' ἐς Κρεμῶνα[1] διεσώθη φερόμενος. Ἐπίνειον δὲ ἦν τι βραχὺ Πλακεντίας · ᾧ προσβαλὼν ὁ Ἀννίβας ἀπώλεσε τετρακοσίους, καὶ αὐτὸς ἐτρώθη. Καὶ ἀπὸ τοῦδε πάντες ἐχείμαζον · Σκιπίων μὲν ἐν Κρεμῶνι καὶ Πλακεντίᾳ, Ἀννίβας δὲ περὶ Πάδον.

VIII. Οἱ δ' ἐν ἄστει Ῥωμαῖοι, πυθόμενοι, καὶ τρίτον ἤδη πταίοντες περὶ Πάδον, (ἥττηντο γὰρ δὴ καὶ ὑπὸ Βοιῶν πρὸ Ἀννίβου) στρατιάν τε παρ' αὐτῶν ἄλλην κατέλεγον, σὺν τοῖς οὖσι περὶ τὸν Πάδον ὡς εἶναι τρισκαίδεκα τέλη · καὶ τοῖς συμμάχοις ἑτέραν διπλασίονα ταύτης ἐπήγγελλον. (H. Est., p. 318.) Ἤδη δὲ αὐτοῖς τὸ τέλος εἶχε πεζοὺς πεντακισχιλίους καὶ ἱππέας τριακοσίους. Καὶ τούτων τοὺς μὲν ἐς Ἰβηρίαν ἔπεμπον, τοὺς δ' ἐς Σαρδόνα, κἀκείνην πολεμουμένην · τοὺς δ' ἐς Σικελίαν. Τὰ πλέονα δ' ἦγον ἐπὶ τὸν Ἀννίβαν οἱ μετὰ Σκιπίωνα καὶ Σεμπρώνιον αἱρεθέντες ὕπατοι, Σερουίλιός τε Γναῖος, καὶ Γάϊος Φλαμίνιος. Ὧν ὁ μὲν Σερουίλιος ἐπὶ τὸν Πάδον ἐπειχθεὶς, τὴν στρατηγίαν ἐκδέχεται παρὰ τοῦ Σκιπίωνος.

1. Le nom de cette ville en grec est généralement Κρεμώνη, Κρέμωνα κολωνία dans Ptolémée, III, 1, 31. — V. sur ce nom notre t. III, p. 29, note 1. Aux auteurs cités dans cette note on peut ajouter Tite-Live, *Epit.*, XX, *Cremona*, Vell. Patercul., I, xiv, sub adventum in Italiam Hannibalis, [deducta] *Cremona*, Plutarque, *Othon*, VII, Κρεμώνη ; Silius Ital., VIII, 592. — Pour la forme Κρημών, Josèphe, *G. J.*, IV, 2. Je n'en connais pas d'exemple en latin.

Les uns périrent sous les coups des cavaliers qui atteignirent vite ces malheureux à pied, les autres, dans le fleuve qui les emporta. Car le soleil ayant fondu la neige, le fleuve coulait à pleins bords, et les fuyards ne pouvaient ni prendre pied à cause de sa profondeur, ni nager à cause de leurs armes. Scipion, qui les suivait en les exhortant, fut blessé, et peu s'en fallut qu'il ne fût tué. A grand'peine on le sauva en l'emportant à Crémôn [1]. Placentia avait un petit port marchand : Annibas, qui l'attaqua, y perdit 400 hommes et fut lui-même blessé. Ensuite, ils prirent tous leurs quartiers d'hiver, Scipion à Crémôn et à Placentia, Annibas sur les bords du Pade.

VIII. Les Romains qui étaient dans la ville, à la nouvelle de cet échec, le troisième qu'ils subissaient sur le Pade, — ils avaient été défaits par les Boïes avant de l'être par Annibas, — enrôlèrent chez eux une autre armée comprenant, avec les troupes du Pade, treize légions, et ils en demandèrent le double à leurs alliés. Or, la légion à cette époque était de 5,000 hommes de pied et de 300 chevaux. De ces troupes, les unes furent envoyées en Ibèrie, les autres en Sardone (Sardaigne) où l'on faisait aussi la guerre; d'autres enfin en Sicélie (Sicile). Mais la majeure partie fut menée contre Annibas par les consuls élus à la place de Scipion et de Sempronius. C'étaient Servilius Gnæus et Gaïus Flaminius. Servilius courut vers le Pade pour recevoir le commandement des mains de

1. Selon Polybe, III, LXVI et ss., et Tite-Live, XXI, 46. Scipion, qui avait été blessé dans un combat de cavalerie près de Pavie, ne prit pas part à la bataille de la Trébie.

Ὁ δὲ Σκιπίων, ἀνθύπατος αἱρεθεὶς, ἐς Ἰβηρίαν διέπλευσεν. Φλαμίνιος δὲ τρισμυρίοις τε πεζοῖς καὶ τρισχιλίοις ἱππεῦσι τὴν ἐντὸς Ἀπεννίνων [1] ὀρῶν Ἰταλίαν ἐφύλασσεν · ἣν καὶ μόνην ἄν τις εἴποι κυρίως Ἰταλίαν. Τὰ γὰρ Ἀπεννῖνα κατέρχεται μὲν ἐκ μέσων τῶν Ἀλπίων ἐπὶ θάλασσαν. Ἔστι δ' αὐτῶν τὰ μὲν ἐπὶ δεξιὰ πάντα, καθαρῶς Ἰταλία · τὰ δὲ ἐπὶ θάτερα, ἐς τὸν Ἰόνιον φθάνοντα, νῦν μέν ἐστι καὶ ταῦτα Ἰταλία · (ὅτι καὶ Τυρρηνία νῦν Ἰταλία ·) οἰκοῦσι δ' αὐτῶν τὰ μὲν Ἕλληνες, ἀμφὶ τὴν Ἰόνιον ἀκτήν · τὰ δὲ λοιπὰ Κελτοὶ, ὅσοι τῇ Ῥώμῃ τὸ πρῶτον ἐπιθέμενοι, τὴν πόλιν ἐνέπρησαν. Ὅτε γὰρ αὐτοὺς ἐξελαύνων Κάμιλλος ἐδίωκε μέχρι τῶν Ἀπεννίνων ὀρῶν, ἐμοὶ δοκοῦσιν, ὑπερβάντες αὐτὰ, ἀντὶ ἠθῶν τῶν ἰδίων, παρὰ τὸν Ἰόνιον οἰκῆσαι · καὶ τὸ μέρος τῆς χώρας ἔτι νῦν οὕτως καλοῦσιν Ἰταλίαν Γαλατικήν.

X. ..... Τὴν δὲ λείαν τοῖς συστρατεύουσι Κελτοῖς ἀποδόμενος [2] (H. Est., p. 319. — Ἀννίβας), ἵνα καὶ τούσδε θεραπεύσειε τῷ κέρδει, προὔβαινεν ἐς τὸ πρόσθεν · αἰσθομένου μὲν ἤδη τῶν γιγνομένων τοῦ περὶ Πάδον στρατηγοῦ Σερουιλίου, καὶ τετρακισμυρίοις ἐπὶ Τυρρηνίας ἐπειγομένου.....

XII. (H. Est., p. 320.) Ἀννίβας δὲ, θεοῦ παραγαγόντος [3] αὐτὸν, ἐπὶ τὸν Ἰόνιον αὖθις ἐτράπη, καὶ τὴν παράλιον ὁδεύων ἐπόρθει · λείαν τε περιήλαυνε πολλήν. Σερουίλιος δ' ὕπατος ἀντιπαριὼν αὐτῷ, κατῆρεν ἐς Ἀρίμινον, ἀπέχων Ἀννίβου μίαν ἡμέραν · ἔνθα τὴν στρατιὰν

1. Ici et plus bas, le V. ἀππενίνων, ἀππένινα.

2. Schweigh. voudrait changer ce mot en ἀποδοὺς ou mieux διαδούς, conject. peu justifiée.

3. Mendels. παράγοντος.

Scipion. Scipion, élu proconsul, fit voile vers l'Ibèrie. Flaminius, avec 30,000 fantassins et 3,000 cavaliers, garda l'Italie en deçà des monts Apennins, la seule qu'on puisse appeler proprement l'Italie. Car les Apennins courent du milieu des *Alpies* jusqu'à la mer : tout ce qui est à droite est purement l'Italie; ce qui est de l'autre côté, tirant vers la mer Ionienne, est à présent aussi l'Italie; — la Tyrrhènie aujourd'hui est même de l'Italie. — Une partie de ces contrées est habitée par les Hellènes, le long du rivage ionien ; le reste l'est par les Celtes, par qui Rome fut une première fois attaquée et brûlée. Ces Celtes, chassés par Camille et poursuivis par lui jusqu'aux monts Apennins, ayant, je crois, passé ces montagnes, au lieu de retourner dans leurs demeures propres, s'établirent le long du [golfe] ionien. Aussi appelle-t-on encore aujourd'hui cette partie du pays Italie *galatique* (gauloise)[1].

X. ..... Il (Annibas) abandonna le butin[2] aux Celtes qui étaient dans son armée, afin de les séduire par l'appât du gain, puis il marcha en avant. Déjà Servilius, qui commandait l'armée du Pade, avait appris ce qui se passait, et avec 40,000 hommes il courait en Tyrrhènie.....

XII. ..... (O). Annibas, qu'un dieu égarait sans doute, se dirigea de nouveau vers le golfe ionien et, chemin faisant, ravagea le littoral. Il emmenait un butin considérable. Le consul Servilius, qui venait à lui en suivant une ligne parallèle, descendit à Ariminum, à une journée seulement d'Annibas. Il retint là son armée, rassura

1. Schweigh. remarque que cette dénomination d'Ἰταλία γαλατική ne se trouve pas ailleurs.

2. Le butin fait à la bataille du Trasimène. V. notre t. II, p. 245.

συνεῖχε, καὶ τοὺς ἔτι φίλους Κελτῶν ἀπεθάρρυνεν[1], ἕως ἀφικόμενος Φάβιος Μάξιμος, ὁ δικτάτωρ, Σερουίλιον μὲν ἐς Ῥώμην ἔπεμπεν, ὡς οὔτε ὕπατον, οὔτε στρατηγὸν ἔτι ὄντα, δικτάτωρος ᾑρημένου.....

LII. (H. Est., p. 343.) Ἐν τούτῳ δὲ καὶ Ἀσδρούβας, ὁ ἀδελφὸς Ἀννίβου, τὴν στρατιὰν, ἣν ἐξενάγησεν ἐν τοῖς Κελτίβηρσιν, ἔχων, διέβαινεν ἐς τὴν Ἰταλίαν· καὶ Κελτῶν φιλίως αὐτὸν δεχομένων, τὰ Ἄλπια ὄρη, ὡδοποιημένα πρότερον ὑπὸ Ἀννίβου, διώδευε· δύο μησὶν, ὅσα τέως Ἀννίβας ἓξ διῆλθεν. Ἐσέβαλέ τε ἐς Τυρρηνίαν, ἄγων πεζοὺς μὲν τετρακισμυρίους ἐπὶ ὀκτακισχιλίοις, καὶ ἐλέφαντας πεντεκαίδεκα, καὶ γράμματα πρὸς τὸν ἀδελφὸν ἔπεμπε, δηλῶν ὅτι παρείη.....

LIV. (H. Est., p. 344.) ..... Οὐδὲ Μάγωνος αὐτῷ τι, τοῦ ξενολογοῦντος ἐν Κελτοῖς καὶ Λίγυσιν, ἐπιπέμποντος, ἀλλὰ τὸ μέλλον ἔσεσθαι περιορωμένου[2].....

[Βίβλος Η'] Λιβυκή.

V. (H. Est., p. 3.) Μετὰ δὲ τοῦτο Ῥωμαίοις μὲν καὶ Καρχηδονίοις εἰρηναῖα ἦν ἐς ἀλλήλους. Λίβυες δ', ὅσοι Καρχηδονίων ὄντες ὑπήκοοι συμμεμαχήκεσαν αὐτοῖς ἐπὶ Σικελίαν, καὶ Κελτῶν ὅσοι μεμισθοφορήκεσαν, ἐγκλήματά τινα μισθῶν καὶ ὑποσχέσεων ἐς τοὺς Καρχηδονίους ἔχοντες, ἐπολέμουν αὐτοῖς μάλα καρτερῶς.....

VII. (H. Est., p. 4.) Τῶν δὲ πολιτευομένων οἱ μὲν ἀντέλεγον, οὐ χρῆναι, κεκενωμένης ἄρτι τῆς Ἰταλίας

1. H. Est. : *malim* ἐπεθάρρυνεν; Musgr. ἀνεθάρρ.
2. Comp. VIII, IX, τὸ μέλλον αἰεὶ περιορώμενος, où le Vat. a προορώμενος.

ceux des Celtes qui étaient encore amis, jusqu'à ce que Fabius Maximus, le dictateur, étant arrivé, renvoya à Rome Servilius qui n'était plus ni consul ni général dès lors qu'un dictateur avait été nommé.....

LII. A ce moment, Asdrubas, frère d'Annibas, ayant avec lui les troupes étrangères qu'il avait levées chez les Celtibères, passait en Italie. Grâce au bon accueil que lui firent les Celtes, il traversa les monts *Alpies* où Annibas avait fait route auparavant, et il ne mit que deux mois à ce trajet qui en avait demandé six à Annibas. Il se jeta dans la Tyrrhènie, ayant en infanterie 48,000 hommes, 8,000 cavaliers et 15 éléphants, et il envoya une lettre à son frère pour lui faire connaître son arrivée.....

LIV. ..... (O). Magon, qui enrôlait des étrangers chez les Celtes et les Ligyes, ne lui envoyait rien et prenait son temps à regarder l'avenir.....

[Livre VIII] *Libyque.*

V. La paix régnait entre les Romains et les *Carchèdonii*. Alors les *Libyes* (Africains) qui, sujets des *Carchèdonii*, avaient combattu avec eux en Sicélie, et les Celtes qui s'étaient mis à leur solde, ayant certains griefs relativement à cette solde et aux engagements pris par les *Carchèdonii*, leur firent une guerre acharnée.....

VII (O). Parmi les hommes d'État, quelques-uns étaient d'un avis contraire[1] : l'Italie venait d'être

1. A celui de Scipion qui proposait de transporter la guerre en Afrique pour forcer Annibal à quitter l'Italie.

τοσοῖσδε πολέμοις, καὶ πορθουμένης ἔτι πρὸς Ἀννίβου, καὶ Μάγωνος ἐν πλευραῖς ἐπ' αὐτὴν Λίγυάς τε καὶ Κελτοὺς ξενολογοῦντος, ἐς Λιβύην στρατεύειν.....

IX. (H. Est., p. 5.) Καρχηδόνιοι δὲ ταῦτα πυνθανόμενοι, Ἀσδρούβαν μὲν, τὸν Γίσκωνος[1], ἐπὶ θήραν ἐλεφάντων ἐξέπεμπον· Μάγωνι δὲ ἀμφὶ τὴν Λιγυστίνην ξεναγοῦντι, πεζοὺς ἀπέστελλον ἐς ἑξακισχιλίους, καὶ ἱππέας ὀκτακοσίους, καὶ ἐλέφαντας ἑπτὰ καὶ προσέτασσον αὐτῷ μεθ' ὅσων δύναιτο ἄλλων ἐσβαλεῖν ἐς Τυρρηνίαν, ἵνα τὸν Σκιπίωνα περισπάσειεν ἐκ Λιβύης. Μάγων μὲν δὴ καὶ τότε ἐβράδυνεν, Ἀννίβᾳ τε συνελθεῖν οὐ δυνάμενος, πολὺ διεστῶτι, καὶ τὸ μέλλον αἰεὶ περιορώμενος.....

XVII. Σύφαξ (H. Est., p. 9.)..... τρίβειν τὸν πόλεμον ἐγνωκὼς, μέχρι μισθοφόροι τινὲς Κελτῶν καὶ Λιγύων ἐπέλθοιεν, ἐπεχείρει διαιτᾷν διαλύσεις.....

XXIII. (H. Est., p. 13.) Καὶ τὸν στρατὸν (ὁ Σκιπίων) ἐγύμναζε φιλοπόνως· προσδοκῶν, Ἀννίβαν τε αὐτίκα ἀπὸ τῆς Ἰταλίας, καὶ Μάγωνα[2] ἀπὸ Λιγυστίνων, ἐπελεύσεσθαι.....

XXXI. (H. Est., p. 17.) ..... Τό τε τοῦ μέλλοντος περιδεὲς, ἐπεξήεσαν, ἐπιπλευσομένων ἐπὶ τὸν Σκιπίωνα αὐτίκα σὺν μεγάλοις στρατοῖς Ἀννίβου τε ἐξ Ἰταλίας, καὶ Μάγωνος ἐκ Λιγύων[3], καὶ Ἄννωνος ἀπὸ Καρχηδόνος.

XXXII. ..... Ὁ δὲ ἐς τὴν εἰρήνην τοῖς Καρχηδονίοις

1. *Sic Vulg.* Le Vat. γέσκωνος admis par Mendels.
2. Le Vat. donne par erreur Ἄννωνα.
3. Plus. mss. ici et plus bas λιβύων. — Candid. Magone ex *Libya*..... Magonem ab *Liguribus*.....

épuisée par tant de guerres ; elle était encore ravagée par Annibas, et Magon, sur ses flancs, enrôlait contre elle des Ligyes et des Celtes ; il ne fallait donc pas porter la guerre en Libye.....

IX (O). A cette nouvelle[1], les *Carchèdonii* envoyèrent Asdrubas, fils de Giscon, à la chasse des éléphants. A Magon qui levait des troupes étrangères dans les parages de la Ligystine, ils expédièrent 6,000 hommes d'infanterie, 800 chevaux et sept éléphants, avec l'ordre de s'adjoindre toutes les forces qu'il pourrait, et de se jeter dans la Tyrrhènie pour détourner Scipion de la Libye. Mais Magon alors allait lentement, parce qu'il ne pouvait joindre Annibas qui était trop loin, et qu'il regardait toujours l'avenir[2].....

XVII (O). Syphax....., résolu à traîner la guerre en longueur jusqu'à ce que les mercenaires Celtes et Ligyes fussent arrivés, essayait de ménager un accommodement (entre les Romains et les Carthaginois).....

XXIII. ..... (O). Il (Scipion) exerçait son armée aux fatigues, s'attendant chaque jour à voir Annibas arriver d'Italie, et Magon de chez les Ligystins.....

XXXI. ..... (O). Ils[3] exposaient ce qu'il y avait à craindre dans l'avenir : tant d'ennemis allaient par mer assaillir Scipion avec de grandes armées, Annibas venant de l'Italie, Magon, de chez les Ligyes, et Annon, de Carchèdon.

XXXII. ..... (O). Il (Scipion) convint de la paix

1. La nouvelle du départ de Scipion pour l'Afrique.
2. Comp. plus haut, p. 52-53.
3. Les Romains partisans de la paix avec Carthage.

ἐπὶ τοῖσδε συνέβη· Μάγωνα μὲν ἀποπλεῖν ἐκ Λιγύων αὐτίκα, καὶ τοῦ λοιποῦ Καρχηδονίους μὴ ξενολογεῖν.....

XL. (H. Est., p. 22.) ..... Καὶ ὑπ' αὐτοῖς ἦν τὸ τρίτον τῆς στρατιᾶς, Κελτοὶ καὶ Λίγυες· τοξόται τε αὐτοῖς ἀναμεμίχατο πάντη καὶ σφενδονῆται, Μαυρούσιοι καὶ Γυμνήσιοι.....

XLIV. (H. Est., p. 24.) ..... Τὸ δὲ λαιὸν, ἔνθα Ῥωμαίων μὲν Ὀκταούιος ἐπεστάτει, τῶν δὲ πολεμίων Κελτοὶ καὶ Λίγυες ἦσαν, ἐπόνει μάλα καρτερῶς ἑκατέροις. Καὶ Σκιπίων μὲν ἔπεμπε Θέρμον, τὸν χιλίαρχον, ἐπικουρεῖν μετ' ἐπιλέκτων. Ἀννίβας δ' ἐπεὶ τὸ λαιὸν συνέστησεν, ἐς τοὺς Λίγυας καὶ Κελτοὺς μεθίππευεν [1], ἐπάγων ἅμα τὴν δευτέραν τάξιν Καρχηδονίων τε καὶ Λιβύων.....

XLVI. (H. Est., p. 25.) ..... Ὁ Ἀννίβας, ἐπί τινος λόφου θεασάμενος Ἴβηρας καὶ Κελτοὺς συνεστῶτας, ἐξίππευσεν, ὡς κἀκείνους ἐπάξων.....

XLVII. (H. Est., p. 26.) Ὁ δ' ἐπανῄει, πεφραγμένος Ἴβηρσι καὶ Κελτοῖς, ἀπὸ τοῦ λόφου.....

XLIX. (H. Est., p. 27.) Οὔπω δὲ οὔτε οἱ Καρχηδόνιοι τῶνδε, οὔτε Ῥωμαῖοι, πυθόμενοι, οἱ μὲν ἐπέστελλον Μάγωνι, ξενολογοῦντι ἔτι Κελτοὺς, ἐσβαλεῖν ἐς τὴν Ἰταλίαν, εἰ δύναιτο, ἢ ἐς Λιβύην μετὰ τῶν μισθοφόρων καταπλεῦσαι.....

1. Candide lisait sans doute ἐπὶ τὸ λ. συνέστησεν τοὺς Λ. κ. Κελτ. μεθιππεύειν..... Il traduit : Hannibal *in lævum* Ligures ac Celtas *adequitare jubet*, etc. Cl. de Seyssel, même sens développé : « Lors Hannibal commanda aux Celtes et Ligurins, qui estoient gens de cheval, qu'ils se deussent retirer et chevaller les ennemys gens de pied à gauche. »

avec les *Carchèdonii* à ces conditions : Magon quitterait sur-le-champ le pays des Ligyes, et désormais les *Carchèdonii* n'enrôleraient plus d'étrangers.....

XL. ..... (O). Derrière eux (les éléphants) il (Annibas) plaça son troisième corps d'armée, les Celtes et les Ligyes, parmi lesquels il avait mêlé sur tous les points des archers et des frondeurs, des *Maurusii* et des *Gymnèsii*[1].....

XLIV. ..... (O). A l'aile gauche où les Romains avaient à leur tête Octavius, où parmi les ennemis se trouvaient les Celtes et les Ligyes, on peinait fort de chaque côté. Scipion envoya au secours des siens le chiliarque (tribun) Thermus avec une troupe d'élite. Annibas, ayant affermi sa gauche, courut à cheval du côté des Ligyes et des Celtes, emmenant avec lui la deuxième ligne formée des *Carchèdonii* et des *Libyes* (Africains).....

XLVI. ..... (O). Annibas, voyant sur une colline un groupe d'Ibères et de Celtes qui tenaient ferme, courut à cheval pour les emmener, eux aussi.....

XLVII. ..... (O). Et de fait, il s'en revint de cette colline (sur le champ de bataille), flanqué de ses Ibères et de ses Celtes.....

XLIX. ..... (O). Les *Carchèdonii* ni les Romains ne savaient rien encore de la victoire. Les premiers envoyèrent à Magon, qui enrôlait des mercenaires Celtes, l'ordre de se jeter sur l'Italie, s'il le pouvait ; autrement, de cingler vers la Libye avec ses mercenaires.....

1. Ces *Gymnèsii* sont des frondeurs baléares (cf. Polybe, XV, xxxvii, 11, — dans notre t. II, p. 284-285). Les îles Baléares étaient aussi nommées *Gymnèsiæ*, Γυμνησίαι, c'est-à-dire les îles des frondeurs, γυμνῆται, appelés par les Phœniciens βαλιαρεῖς. V. Strab., XIV, ii, 10 ; Agathém., V, 20. — Cf. Diodor., V, 17. Etienn. Byz., Γυμνησίαι, il cite Lycophr., v. 633 et ss.

LIV. (H. Est., p. 30.) « ..... Ἐν δ' ἑξήκοντα ἡμέραις, Μάγωνα χρὴ Λιγύων ἀποστῆναι, καὶ τὰς φρουρὰς ὑμᾶς ἐξαγαγεῖν ἐκ τῶν πόλεων, ὅσαι τῶν Φοινικίδων τάφρων ἐκτός εἰσι, καὶ, ὅσα αὐτῶν ἔχετε ὅμηρα, ἀποδοῦναι · καὶ ἐς Ῥώμην ἑκάστου ἔτους ἀναφέρειν Εὐβοεικὰ τάλαντα διακόσια, ἐπὶ πεντήκοντα ἐνιαυτούς, καὶ μήτε ξενολογεῖν ἀπὸ Κελτῶν ἢ Λιγύων ἔτι..... »

Ἐκ τῆς γραφῆς τῆς Νομαδικῆς.

III. Ὅτι Μέτελλος..... Θρᾷκας δὲ καὶ Λίγυας αὐτομόλους λαβὼν παρὰ Ιογόρθα, τῶν μὲν τὰς χεῖρας ἀπέτεμνε, τοὺς δὲ ἐς τὴν γῆν μέχρι γαστρὸς κατώρυσσε, καὶ περιτοξεύων ἢ ἐσακοντίζων, ἔτι ἐμπνέουσι πῦρ ὑπετίθει [1]. (Val., Peiresc, *Extr. des Vertus et des Vices*, p. 561.)

[Ἐκ τῆς βίβλου Θ'] τῆς Μακεδονικῆς.

XVIII. ..... Ἐς δὲ Γέτας [2] ἔπεμπε τοὺς ὑπὲρ Ἴστρον..... Καὶ ὁ Περσεὺς ἤδη, Γετῶν αὐτῷ προσιέναι μισθοφόρους, μυρίους ἱππέας, καὶ μυρίους πεζοὺς, πυθόμενος, αὐτίκα τοῦ Εὐμενοῦς κατεφρόνει..... Γετῶν δὲ τὸν Ἴστρον περασάντων, ἐδόκει Κλοιλίῳ μὲν τῷ ἡγεμόνι δοθῆναι χιλίους χρυσοῦς στατῆρας, ἱππεῖ δ' ἑκάστῳ δέκα, καὶ τὰ ἡμίσεα

1. Naber, *Mnémos.*, t. IV (1876), p. 346, propose ἐπετίθει ; correction inutile ; ὑπετίθει s'explique bien.

2. Tous les autres historiens qui ont raconté ce fait nomment, au lieu des Gétes, les *Galates* (Gaulois) ou les Bastarnes (v. la note 4 de la page ci-contre). Appien lui-même, *Illyr.*, IV, compte les Bastarnes parmi les Gétes ; Trogue-Pompée, XXXII, prolog., leur donne une origine gauloise.

LIV. ..... (O). « Dans un délai de soixante jours[1], vous devrez, Magon s'éloigner [du pays] des Ligyes, et vous, retirer vos garnisons des villes qui sont en dehors des *Fosses Phœnicides* (*Puniques*), leur rendre les otages que vous avez à elles, verser une somme de deux cents talents euboïques chaque année, pendant cinquante ans, et ne plus enrôler de troupes étrangères chez les Celtes ni chez les Ligyes..... »

[Appendice] *Nomadique*[2] (Fragments).

III. ..... (O). Métellus..... ayant reçu de Jogortha les transfuges Thraces et Ligyes, coupa les mains aux uns, enfouit les autres dans la terre jusqu'au ventre, et les fit percer de toutes parts de flèches et de javelots ; comme ils respiraient encore, il les fit brûler.....

[Livre IX] *Macédonique* (Fragments).

XVIII. ..... (O). Il [3] envoya chez les Gétes delà l'Ister[4]..... Informé qu'il allait avoir des mercenaires Gétes, — dix mille hommes de cavalerie et dix mille d'infanterie, — dès lors il fait fi d'Eumène.... Les Gétes ayant passé l'Ister, il était décidé qu'il serait donné à Clœlius[5], leur chef, mille statères d'or, dix pour chaque

1. Conditions de la paix dictées par Scipion après sa victoire de Zama. Les *Fosses puniques* (cf. même livre XXXII).
2. Numidique.
3. Persée de Macédoine. An de R. 586, av. J.-C. 754.
4. Comp. Polybe dans notre t. II, p. 302-303; Diodore, *ib.*, p. 446-447 ; et surtout Plutarque, *Paul-Émile*, dans notre t. III, p. 102-107, et les notes.
5. Clondicus dans Tite-Live, XL, 58, XLIV, 26 et s.

πεζῷ. Καὶ τοῦτο σύμπαν ἦν ὀλίγῳ πλέον πεντεκαίδεκα μυριάδων χρυσίου. Ὁ δὲ χλαμύδας μέν τινας ἐπήγετο καὶ ψέλλια χρυσᾶ καὶ ἵππους, ἐς δωρεὰν τοῖς ἡγουμένοις, καὶ στατῆρας φερομένους μυρίους[1]. Καὶ πλησιάσας μετεπέμπετο Κλοίλιον. Ὁ δὲ τοὺς ἐλθόντας, εἰ φέρουσι τὸ χρυσίον, ἤρετο· καὶ μαθὼν οὐκ ἔχοντας, ἀναστρέφειν ἐπ' αὐτὸν ἐκέλευσεν. Ὧν ὁ Περσεὺς πυθόμενος, πάλιν αὐτὸν ἐλαύνοντος θεοῦ, κατηγόρει τῶν Γετῶν ἐν τοῖς φίλοις ἐκ μεταβολῆς, ὡς φύσεως ἀπίστου[2]. Καὶ ὑπεκρίνετο, μὴ θαρρεῖν δισμυρίους αὐτῶν ἐς τὸ στρατόπεδον ὑποδέξασθαι. Μόλις δὲ, ἔφη, μυρίους· ὧν καὶ νεωτεριζόντων κρατῆσαι δύνασθαι. Ταῦτα δὲ τοῖς φίλοις εἰπὼν, ἕτερα τοῖς Γέταις ἐπλάττετο, καὶ τὸ ἥμισυ τῆς στρατιᾶς ᾔτει, τὸ χρυσίον τὸ γιγνόμενον[3] ὑπισχνούμενος δώσειν. Τοσαύτης ἀνωμαλίας ἔγεμε, φροντίζων χρημάτων τῶν πρὸ βραχέος ἐς θάλασσαν μεθειμένων. Ὁ δὲ Κλοίλιος τοὺς ἀφικομένους ἰδὼν, ἤρετο μετὰ βοῆς· εἰ τὸ χρυσίον κεκομίκασι; καὶ βουλομένους τι λέγειν, ἐκέλευσε πρῶτον εἰπεῖν περὶ τοῦ χρυσίου. Ὡς δ' ἔμαθεν οὐκ ἔχοντας, οὐκ ἀνασχόμενος αὐτῶν οὐδ' ἀκοῦσαι, τὴν στρατιὰν ἀπῆγεν ὀπίσω. Καὶ Περσεὺς ἀφῄρητο καὶ τῆσδε τῆς συμμαχίας, πολλῆς τε, καὶ κατὰ καιρὸν ἐλθούσης..... (Val., Peiresc, *Des Vertus et des Vices*, p. 562.)

1. *Vulg.* μυρίοις. — φερομένους paraît répondre pour le sens au mot *præsentes* dans la phrase de T.-Live sur le même sujet (XLIV, 26) : eques denos *præsentes* aureos, etc. Cf. ci-dessous τὸ χρυσίον τὸ γιγνόμενον.

2. Conj. de Bekk. ἀπίστων.

3. Cf. Plut., *P.-Émile*, XII, dans notre t. III, p. 104-105. « Valesius, cujus versionem tenui, interpretatur *aurum quod convenerat.* Potius : *aurum quod adesset, quod paratum haberet,* scil. στατῆρας illos μυρίους, quos paulo ante dixit. » Schweigh.

cavalier, et la moitié pour chaque fantassin. Cela faisait un total d'un peu plus de 150,000 statères d'or. Le roi apporta avec lui des chlamydes, des bracelets d'or; il amena des chevaux pour faire des présents au chef et dix mille statères argent comptant. En arrivant, il envoya chercher Clœlius. Ce chef demanda aux messagers s'ils apportaient l'or [stipulé]. Sur leur réponse négative, il leur ordonna de retourner vers leur roi. Instruit par eux, Persée, qu'un dieu poussait encore [à sa perte], s'emporta contre les Gétes devant ses amis : c'étaient de tout autres conditions ; ainsi font les gens sans foi. Il feignait de n'oser pas recevoir dans son camp vingt mille d'entre eux; il avait peine, disait-il, à en recevoir dix mille : du moins, s'ils remuaient, on pouvait s'en rendre maître[1]. Après qu'il eut ainsi parlé à ses amis, ce furent avec les Gétes d'autres façons : il demande la moitié de l'armée, s'engageant à donner comptant la somme en or. Telles étaient les inégalités dont son caractère était plein; tels ses soucis pour son argent, lorsque peu auparavant il l'avait jeté dans la mer. Clœlius, voyant venir [encore les mêmes envoyés], leur demanda en criant s'ils apportaient l'or, et comme ils voulaient parler d'autre chose, il leur ordonna de répondre d'abord au sujet de l'or. Ayant appris qu'ils ne l'avaient pas, il ne supporta plus même un mot de leur part et remmena son armée. Et Persée se vit enlever cette alliance si puissante et qui venait si à propos[2].....

1. Voir le caractéristique récit de Tite-Live, XLIV, 37 : « ..... periculosum esse tantam multitudinem in Macedoniam accipere, ne graviores eos socios habeant, quam hostes romanos. *Quinque millia satis esse*, quibus et uti ad bellum possent, et quorum multitudinem ipsi non timeant. » — 2. Cf. le court récit de Dion Cassius, p. CCXXIX ; il nomme les Thraces au lieu des Gétes.

[Βίβλος] Συριακή.

VI. (H. Est., p. 89.) ..... Γαλάτας τε δώροις καὶ καταπλήξει τῆς παρασκευῆς ἐς συμμαχίαν ὑπήγετο [1], ἀξιομάχους ἡγούμενος ἔσεσθαί οἱ, διὰ τὰ μεγέθη τῶν σωμάτων.....

XXXII. (H. Est., p. 107.) ..... Τοιοῦτον μὲν ἦν τὸ πεζὸν Ἀντιόχῳ. Ἱππεῖς δ' ἑκατέρωθεν αὐτοῦ παρατετάχατο, Γαλάται τε κατάφρακτοι, καὶ τὸ λεγόμενον Ἄγημα [2] τῶν Μακεδόνων· εἰσὶ δὲ καὶ οἵδε ἱππεῖς ἐπίλεκτοι..... Τὸ δὲ λαιὸν Γαλατῶν τ' ἔθνη, Τεκτοσάγαι τε καὶ Τρόκμοι καὶ Τολιστόβοιοι [3], καὶ Καππαδόκαι τινές.....

XXXIV. (H. Est., p. 108.) Ὁ δ' Εὐμενὴς..... τοὺς ἰδίους ἱππέας, καὶ ὅσοι Ῥωμαίων αὐτῷ καὶ Ἰταλῶν παρατετάχατο, ἐπῆγεν ἐπὶ τοὺς ἀντικρὺ Γαλάτας τε καὶ Καππαδόκας, καὶ τὴν ἄλλην σύνοδον τῶν ξένων, μέγα κεκραγώς, καὶ παρακαλῶν ἐπὶ ἄνδρας ἀπείρους τε μάχης καὶ γεγυμνωμένους τῶν προπολεμούντων. (H. Est., p. 109.) Οἱ δ' ἐπείθοντο· καὶ βαρείας σφῶν τῆς ἐμβολῆς γενομένης, τρέπονται τούτους τε, καὶ τοὺς παρεζευγμένους αὐτοῖς ἱππέας τε καὶ καταφράκτους [4], ἐκ πολλοῦ

1. *Sic* Monac. gr. 374, Pletho Gemist., extr. du liv. Syr., les deux paris. 1681, 1682, etc. — Le Vat. gr. 134 a ὑπηγάγετο. — Gelenius, suivi par H. Est. et D. Bouq. : ratus *idoneos quos* Romanis *opponeret*. Candidus avait mieux rendu : *bello utiles arbitratus*. Le sens est qu'il aimait mieux les avoir pour alliés que pour ennemis.

2. Comme ἀγητὸν, ἀπὸ τοῦ ἄγασθαι, *admirari*.

3. Ici et plus bas (XLII). Les meilleurs mss. donnent Τολιστόβιοι adopté par Mendelssohn. — Candid., *Tælystobosigii*, *Tectosagii* ; Seyssel : les *Tectosagiens*, les Trocmiens, les *Tælistobiens*.

4. Comp. *supr*. XXXII.

[Livre] *Syriaque.*

VI. ..... Il (Antiochos[1]) attira les Galates dans son alliance par des présents et par la peur qu'il leur fit avec ses préparatifs [de guerre] : il pensait que [s'il les avait pour ennemis,] ces hommes-là, avec leurs grands corps, étaient de force à lui livrer bataille.....

XXXII. ..... Telle était l'infanterie d'Antiochos[2] : de chaque côté était rangée devant elle la cavalerie avec les Galates bardés de fer (*cataphracti*) et ce qu'on appelle l'*Agèma* des Macédones[3]; c'est aussi une cavalerie d'élite..... à l'aile gauche étaient les peuples des Galates : les Tectosages, les Trocmes, les Tolistoboïes et quelques Cappadoces.....

XXXIV. Euménès..... poussa sa cavalerie et tout ce qu'il avait avec lui de cavaliers de Rome et d'Italie contre ceux qui lui faisaient face, Galates, Cappadoces, toute la bande des étrangers, en jetant de grands cris et en exhortant les siens à marcher contre des hommes sans expérience des combats et laissés à découvert par les corps qui les protégeaient. On lui obéit, et telle fut la vigueur de l'attaque qu'elle mit en fuite les ennemis, notamment les cavaliers qu'ils avaient sur les flancs et même les *cataphracti*, parmi lesquels déjà depuis longtemps les chariots avaient porté le

1. Antiochus III le Grand, 222-186 av. J.-C.

2. A la bataille du Sipyle, 563 de Rome, 190 av. J.-C.

3. *Agèma*, bataillon qui marche devant le roi ; il est formé d'éléphants, de chevaux, de gens de pied. C'est une troupe d'élite. — Hésych. et Suid., v. Ἄγημα. — Selon Tite-Live, XXXVII, XL, c'était seulement un corps de cavalerie : « Additа his ala mille ferme equitum : *agema* eam vocabant. » Cf. Q. Curt., IV, 13, Polyb. ap. Athen., V, 194, etc.

ταρασσομένους διὰ τὰ ἅρματα· οὓς δὴ καὶ μάλιστα, διὰ τὸ βάρος ὑποφεύγειν ἢ ἀναστρέφειν εὐμαρῶς οὐ δυναμένους, κατελάμβανον τε καὶ συνέκοπτον.....

XLII. (H. Est., p. 115.) Μάλλιος δὲ [1], ὁ τοῦ Σκιπίωνος διάδοχος, τὴν ἀφαιρεθεῖσαν Ἀντιόχου γῆν ἐπιὼν καθίστατο. Καὶ Γαλατῶν τῶν Ἀντιόχῳ συμμαχησάντων Τολιστοβοίους [2], ἀναφυγόντας ἐς τὸν Μύσιον Ὄλυμπον, ἐπιμόχθως τοῦ ὄρους ἐπιβάς, ἐτρέψατο φεύγοντας· ἕως ἔκτεινε καὶ κατεκρήμνισεν ὅσους ἀριθμήσασθαι διὰ τὸ πλῆθος οὐκ ἐγένετο· αἰχμαλώτους δ' ἔλαβεν ἐς τετρακισμυρίους, ὧν τὰ μὲν ὅπλα κατέκαυσε, τὰ δὲ σώματα, (οὐ δυνάμενος τοσόνδε πλῆθος ἐν πολέμοις περιάγεσθαι) τοῖς ἐγγὺς βαρβάροις ἀπέδοτο. Ἐν δὲ Τεκτοσάγαις τε καὶ Τρόκμοις [3] ἐκινδύνευσε μὲν ἐξ ἐνέδρας, καὶ ἔφυγεν. Ἐπανελθὼν δὲ ἐς αὐλιζομένους τε καὶ βεβυσμένους ὑπὸ πλήθους, περιέστησε τοὺς ψιλοὺς αὐτοῖς, καὶ περιτρέχων ἐκέλευσεν ἐσακοντίζειν, μήτε προσπλεκομένους, μήτε πλησιάζοντας. Οὐδενὸς δὲ βέλους ἀτυχοῦντος, διὰ τὴν πυκνότητα τῶν πολεμίων, ἔκτεινεν ἐς ὀκτακισχιλίους, καὶ ἐδίωξε τοὺς λοιποὺς ὑπὲρ Ἅλυν ποταμόν.....

L. (H. Est., p. 119.) ..... Πομπήιος μὲν οὖν τῶνδε τῶν ὑπὸ τοῖς Σελευκίδαις γενομένων ἐθνῶν τοῖς μὲν ἐπέσ-

1. Candide, Seyssel, d'après les mss., *Manius*, H. Estienne, Μάνιος, corrigé par Schw.

2. Candide : et Galatas qui cum Antiocho pugnaverant, *latrociniis deditos*. Il lisait sans doute τοὺς ληστοβίους admis par Ch. Est. Le ms., selon ce dernier, portait τὸ λιστοβίους. Seyssel suit Candide : « Lesquels estoient tous *brigans et gens viuans de larcins.* »

3. Cand. *Tectosagos* et *Procmos ;* Seyssel *Tectosagiens*, et *Procmiens*.

trouble : ne pouvant aisément, à cause de leur pesanteur, ni reculer, ni faire volte-face, ils furent pour la plupart pris ou taillés en pièces.....

XLII. Mallius, qui succédait à Scipion, arrive pour organiser les territoires enlevés à Antiochos. Un des peuples galates qui avaient combattu avec Antiochos, les Tolistoboïes s'étaient réfugiés dans le mont Olympe de Mysie. Mallius, à grand' peine entré dans la montagne, poursuivit les fuyards : il en tua, il en jeta dans les précipices un si grand nombre qu'on ne les put compter. Il fit environ quarante mille prisonniers desquels il brûla les armes et qu'il vendit, — ne pouvant emmener dans ses guerres une telle multitude, — aux barbares du voisinage[1]. Lui-même, il fut en danger chez les Tectosages et les Trocmes qui lui dressèrent des embûches, et il ne s'en tira que par la fuite. Mais étant revenu sur eux, dans un bivouac encombré de leur multitude, il jeta à l'entour ses troupes légères, et courant au travers, il ordonna de lancer des javelots sur cette foule sans s'engager, sans approcher. Aucun trait qui ne portât, tant les ennemis étaient pressés : il en tua environ quatre-vingt mille et poursuivit le reste par delà le fleuve Halys.....

L (O). ..... Des peuples qui avaient été sous l'obéissance des Séleucides, Pompée [donna] aux uns..... ;

1. V. sur cette expédition de Manlius contre les Galates, Tite-Live, XXXVIII, 19-22. Amédée Thierry, *Hist. des Gaul.*, liv. III, ch. IV, a raconté avec chaleur cet intéressant épisode de l'histoire des Gaulois, en se servant surtout des récits de Tite-Live, qu'il complète au moyen des rares documents qui nous restent d'ailleurs, Polybe, Strabon, Appien, etc. — An de R. 565, av. J.-C. 189.

τησεν οἰκείους βασιλέας, ἢ δυνάστας[1], καθὰ καὶ Γαλατῶν τῶν ἐν Ἀσίᾳ τοῖς τέσσαρσι δυνάσταις ἐβεβαίωσε τὰς τετραδαρχίας[2], συμμαχήσασίν οἱ κατὰ Μιθριδάτου. Καὶ οὐ πολὺ ὕστερον καὶ τάδε περιῆλθεν ἐς Ῥωμαίους, ἐπὶ Καίσαρος μάλιστα τοῦ Σεβαστοῦ, κατὰ μέρη.

LXV. (H. Est., p. 130.) ..... Ἀντίοχος μὲν πρῶτος ὅδε, ὁ τῆς μητρυιᾶς ἐρασθείς · ὃς καὶ Σωτὴρ ἐπεκλήθη, Γαλάτας ἐκ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν ἐμβαλόντας ἐξελάσας.....

[Βίβλος] Μιθριδάτειος.

XI. (H. Est., p. 177.) ..... Κάσσιος δὲ καὶ Μάνιος[3], τῷ τε Κασσίου στρατῷ, καὶ πολὺν ἄλλον ἀγείραντες Γαλατῶν καὶ Φρυγῶν, Νικομήδη τε κατήγαγον ἐς Βιθυνίαν καὶ Ἀριοβαρζάνην ἐς Καππαδοκίαν.....

XVII. (H. Est., p. 181.) ..... Στρατιὰν ἤγειρον ἔκ τε Βιθυνίας καὶ Καππαδοκίας καὶ Παφλαγονίας καὶ Γαλατῶν τῶν ἐν Ἀσίᾳ..... Διελόμενοι τὸ πλῆθος, ἐστρατοπέδευον · Κάσσιος μέν, ἐν μέσῳ Βιθυνίας τε καὶ Γαλατίας ·

1. « Suspensa utique oratio est, et altero membro, quodcunque illud fuerit, mutilata. » Schweigh.

2. *Vulgo* τετραρχίας de τετράρχης, tétrarque. R. τέτταρες, quatre, et ἄρχειν, commander. La forme τετραδαρχία indique le partage du pays en *quatre* principautés. — Cf. Démosth., *Philip.*, III, 117, 26 : τετραδαρχίας καθέστακε (Φίλιππος) παρ' αὐτοῖς (τοῖς Θετταλοῖς).

3. Candid. Manius Attilius.

[aux autres] il imposa des rois nationaux ou des dynastes. Ainsi, chez les Galates d'Asie, il confirma dans leurs *tétradarchies*[1] les quatre dynastes qui avaient combattu avec lui contre Mithridate. — Peu après, principalement au temps de Cæsar-Auguste, ces contrées passèrent aussi sous la domination de Rome, chacune à son tour.

LXV. ..... Le premier (successeur de Séleucos) fut cet Antiochos qui avait été amoureux de sa belle-mère, et qui fut surnommé Sôter (Sauveur), quand il eut chassé les Galates (Gaulois) qui, venant de l'Europe, s'étaient jetés sur l'Asie[2].....

Le Mithridatique.

XI. ..... (O). Cassius[3] et Manius (Aquilius[4]), avec l'armée de Cassius, à laquelle ils joignirent des troupes nombreuses de Galates et de Phryges, ramenèrent Nicomède en Bithynie et Ariobarzane en Cappadocie.....

XVII (O). ..... (Les généraux romains) rassemblèrent une armée [qu'ils tirèrent] de la Bithynie, de la Cappadocie, de la Paphlagonie et de chez les Galates d'Asie..... Puis, s'étant partagé les troupes, ils campèrent, Cassius entre la Bithynie et la Galatie, Manius

1. *Vulgo* tétrarchies. — Sur ces rois et ces tétrarques établis ou maintenus par Pompée, cf. plus bas *Mithridat.*, CXIV, p. 74-75.

2. An de Rome 476, av. J.-C. 278.

3. L. Cassius, gouverneur de l'Asie voisine de Pergame.

4. Celui qui fut consul avec Marius, an de R. 653. — On voit au commencement de ce chap. que ce Manius Aquilius était alors le chef d'une ambassade envoyée en Asie pour rétablir sur leurs trônes Nicomède et Ariobarzane.

Μάνιος δὲ, ᾗ διαβατὸν[1] ἦν ἐς Βιθυνίαν τῷ Μιθριδάτῃ.....

XLI. (H. Est., p. 197.) ..... Ὡς δ' ἐπλησίασαν ἀλλήλοις, οἱ μὲν ἐκ Θερμοπυλῶν ἄρτι μετεχώρουν ἐς τὴν Φωκίδα, Θρᾷκές τε ὄντες, καὶ ἀπὸ τοῦ Πόντου, καὶ[2] Σκύθαι, καὶ Καππαδόκαι, Βιθυνοί τε καὶ Γαλάται καὶ Φρύγες, καὶ ὅσα ἄλλα τῷ Μιθριδάτῃ νεόκτητα γένοιτο· πάντες ἐς δυώδεκα μυρίαδας ἀνδρῶν.....

XLVI. (H. Est., p. 200.) Μιθριδάτης..... τοὺς ὑπόπτους οἱ πάντας..... ἀνελέγετο. Καὶ πρῶτα μὲν τοὺς Γαλατῶν τετράρχας, ὅσοι τε αὐτῷ συνῆσαν ὡς φίλοι, καὶ ὅσοι μὴ κατήκουον αὐτοῦ, πάντας ἔκτεινε μετὰ παίδων καὶ γυναικῶν, χωρὶς τριῶν τῶν διαφυγόντων, τοῖς μὲν ἐνέδρας ἐπιπέμψας, τοὺς δ' ἐπὶ διαίτῃ μιᾶς νυκτός, οὐχ ἡγούμενος αὐτῶν οὐδένα[3] οἱ βέβαιον, εἰ πλησιάσοι[4] Σύλλας, ἔσεσθαι. Σφετερισάμενος δ' αὐτῶν τὰς περιουσίας, φρουρὰς ἐσῆγεν ἐς τὰς πόλεις, καὶ σατράπην ἐς τὸ ἔθνος Εὔμαχον ἔπεμψεν· ὃν αὐτίκα τῶν τετραρχῶν οἱ διαφυγόντες, στρατιὰν ἀγείραντες ἀπὸ τῶν ἀγρῶν, ἐξέβαλον αὐταῖς φρουραῖς, διώκοντες ἐκ Γαλατίας. Καὶ Μιθριδάτῃ περιῆν Γαλατῶν ἔχειν τὰ χρήματα μόνα.....

LV. (H. Est., p. 207.) ..... Καὶ Σύλλας τὴν ἐν τοσῷδε ἀργίαν διατιθέμενος, Ἐνετοὺς[5], καὶ Δαρδανέας,

1. Conj. de Musgrave διαβατέον : aucun édit. ne l'a adoptée.
2. Candide et plusieurs mss. retranchent καὶ.
3. Candid. *ratus nihil tutum sibi futurum.*
4. *Sic* fere omnes ; nonnulli ut Vatic. gr. 134 πλησιάσει.
5. Palmerius Μήδους.

à l'endroit par où Mithridate pouvait passer en Bithynie.....

XLI (O). ..... A l'heure même où les adversaires[1] se trouvaient rapprochés, Archélaos passait des Thermopyles dans la Phôcide [avec tous les siens] : c'étaient des Thraces, des hommes venus du Pont, des Scythes, des Cappadoces, des Bithynes, des Galates et des Phryges, et tous les autres peuples conquis par Mithridate, formant une masse de douze myriades de combattants.

XLVI. Mithridate (après la défaite d'Archélaos), se rappelant tous ceux qui lui étaient suspects....., fit périr d'abord les tétrarques des Galates, et ceux qu'il avait auprès de lui à titre d'amis, et ceux qui n'étaient pas sous son obéissance[2]; il les tua tous avec leurs enfants et leurs femmes, à l'exception de trois qui lui échappèrent par la fuite. Aux uns il avait dressé des embûches ; les autres, ce fut à table, en une seule nuit. Il croyait que pas un d'eux ne lui resterait fidèle dès que Sylla approcherait. Il s'appropria leurs biens, mit des garnisons dans leurs villes et envoya chez ce peuple Eumachos en qualité de satrape. Mais aussitôt ceux des tétrarques qui lui avaient échappé, ayant levé une armée dans les campagnes, le jetèrent avec ses garnisons hors de la Galatie, et il ne demeura à Mithridate que l'argent qu'il avait pris.....

LV. ..... Sylla mit à profit son inaction pendant tout ce temps (pendant les négociations ouvertes avec

1. Sylla et Archélaos, avant la bataille de Chéronée, an de Rome 668, av. J.-C. 86.

2. V. plus bas LVIII. — Cf. Plutarque, *De la vertu des Femmes*, XXIII, dans notre t. III, p. 324 et ss. — An de R. 667, av. J.-C. 87.

καὶ Σιντοὺς [1], περίοικα Μακεδόνων ἔθνη, συνεχῶς ἐς Μακεδονίαν ἐμβάλλοντα, ἐπιὼν ἐπόρθει.....

LVIII. (H. Est., p. 209.) ..... Ὅτε γὰρ τὴν Ἰταλίαν ἀφισταμένην ἡμῶν ᾐσθάνου, τὴν ἀσχολίαν τήνδε ἡμῶν φυλάξας, ἐπέθου μὲν Ἀριοβαρζάνῃ καὶ Νικομήδει, καὶ Γαλάταις καὶ Παφλαγονίᾳ....., οἷα δέδρακας ἢ τὰς πόλεις....., ἢ Γαλατῶν τοὺς τετράρχας, οὓς ὁμοδιαίτους ἔχων ἀπέκτεινας.....

LXV. (H. Est., p. 214.) ..... Λείας δὲ πολλῆς καταγέμων, ἐς Φρυγίαν καὶ Γαλατίαν ἐπανῄει.....

LXVIII. (H. Est., p. 217.) ..... Συνετίθετο τῷ Μιθριδάτῃ, δώσειν Ἀσίαν τε καὶ Βιθυνίαν, καὶ Παφλαγονίαν, καὶ Καππαδοκίαν, καὶ Γαλατίαν.....

LXXV. (H. Est., p. 222.) ..... Τῷ δ' αὐτῷ χρόνῳ Φρυγίαν Εὔμαχος Μιθριδάτου στρατηγὸς ἐπιτρέχων, ἔκτεινε Ῥωμαίων πολλοὺς μετὰ παίδων καὶ γυναικῶν, Πισίδας τε καὶ Ἰσαύρους ὑπήγετο, καὶ Κιλικίαν· μέχρι τῶν τις Γαλατικῶν τετραρχῶν Δηιόταρος ἐπιπολάζοντα αὐτὸν συνεδίωξε καὶ πολλοὺς διέφθειρε.

XCV. (H. Est., p. 236.) Οὕτω διαθεὶς ὁ Πομπήιος ἅπαντα [2], ἐπέστησεν Ἰβηρίᾳ μὲν καὶ ταῖς Ἡρακλείοις

1. Le même Σιντοὺς, le Monac. 374, les Paris. 1681, 1682 Εἰντοὺς, le Vat. 134 Ἰντοὺς. — Quant à Ἐνετοὺς ou Ἑνετοὺς, Schweigh. démontre qu'il ne faut rien changer à ce nom qui se trouve dans tous les mss. Il renvoie à Strabon, XII, III, 8 et 25, dans notre t. I, p. 226-228. — Cf. V, I, 4 et ss.; *ibid.*, p. 174 et ss.

2. Quelques-uns ἅπαντας. Candid. *sic omnibus dispositis.*

Archélaos pour la paix) : les Énétes, les Dardaniens et les Sintes, peuples voisins des Macédones, se jetaient continuellement sur la Macédonie : il vint ravager leur pays.....

LVIII (O). ..... Quand tu as appris[1] que l'Italie se révoltait contre nous, épiant les embarras où nous nous trouvions par là, tu as attaqué Ariobarzane et Nicomède et les Galates et la Paphlagonie..... Quel mal n'as-tu pas fait aux villes..... aux Galates dont tu as massacré les tétrarques que tu avais à ta table?....

LXV (O). ..... Gorgé de butin, Murèna revint en Phrygie et en Galatie..... (il avait pillé quatre cents bourgades aux pays de Mithridate).

LXVIII (O). ..... [Sertorius] convint avec Mithridate qu'il donnerait à ce roi (pour prix de son alliance) l'Asie et la Bithynie, la Paphlagonie, la Cappadocie et la Galatie.....

LXXV. .....[2] Dans le même temps (pendant l'échec de Mithridate à Cyzique), Eumachos, son général, faisant des incursions (en Phrygie), massacra plusieurs Romains avec leurs enfants et leurs femmes. Il subjugua les Pisides, les Isaures et la Cilicie. Enfin un des tétrarques des Galates, Dèjotaros, qui le suivait de près, l'atteignit au milieu de ses ébats et lui tua beaucoup de monde[3].

XCV (O). Après avoir ainsi tout réglé[4], Pompée donna le commandement en Ibèrie et aux Colonnes

1. Disc. de Sylla à Mithridate.
2. An de Rome 679, av. J.-C. 75.
3. Tite-Live, Epit., XCIV : Dejotarus, Gallogræciæ tetrarches, præfectos Mithridatis, bellum in Phrygia moventes, cecidit.
4. En vue de la guerre des pirates. — An de R. 687, av. J.-C. 67.

στήλαις Τιβέριον Νέρωνα καὶ Μάλλιον[1] Τορκουᾶτον· ἀμφὶ δὲ τὴν Λιγυστικήν[2] τε καὶ Κελτικὴν θάλασσαν Μάρκον Πομπώνιον· Λιβύῃ δὲ καὶ Σαρδόνι καὶ Κύρνῳ, Πούπλιον Ἀτίλιον.....

CII. (H. Est., p. 241.) ..... [Ὁ δὲ Μιθριδάτης] ἐπινοῶν ἕτερα καινότερα· διὰ Θρᾴκης ἐς Μακεδονίαν, καὶ διὰ Μακεδόνων ἐς Παίονας ἐμβαλὼν, ὑπερελθεῖν εἰς τὴν Ἰταλίαν τὰ Ἄλπεια ὄρη.....

CIX. (H. Est., p. 246.) Ὁ δὲ..... οὐδὲν οὐδὲ τότε ἢ ταπεινὸν ἢ συμφορῶν ἄξιον ἐνεθυμεῖτο· ἀλλ' ἐς Κελτοὺς, ἐκ πολλοῦ φίλους ἐπὶ τῷδέ οἱ γεγονότας, ἐπενόει διελθὼν ἐς τὴν Ἰταλίαν σὺν ἐκείνοις ἐμβαλεῖν· ἐλπίζων οἱ πολλὰ καὶ τῆς Ἰταλίας αὐτῆς, ἔχθει Ῥωμαίων, προσέσεσθαι. Πυνθανόμενος, ὧδε καὶ Ἀννίβαν πρᾶξαι..... Ταῦτα ἐνθυμούμενος ἐς Κελτοὺς ἠπείγετο.....

CXI. (H. Est., p. 248.) ..... Βίτοιτον[3] οὖν τινα ἰδὼν, ἡγεμόνα Κελτῶν· Πολλὰ μὲν ἐκ τῆς σῆς, ἔφη, δεξιᾶς ἐς πολεμίους ὠνάμην· ὀνήσομαι δὲ μέγιστον, εἰ νῦν με κατεργάσαιο, κινδυνεύοντα ἐς πομπὴν ἀπαχθῆναι θριάμβου, τὸν μέχρι πολλοῦ τοσῆσδε ἀρχῆς αὐτοκράτορα καὶ βασιλέα..... Ὁ μὲν δὴ Βίτοιτος, ἐπικλασθεὶς[4], ἐπεκούρησε χρῄζοντι τῷ βασιλεῖ.

1. Vatic. gr. 134 μάλιον.
2. *Sic* le même ms.; le Monac. gr. 374 λιγυστίνην.
3. Vat. gr. 134 Βίτιτον, Candid. *Bittitum*. Toutes les édit. Βίτοιτον et, plus loin, Βίτοιτος.
4. Candidus lisait sans doute καὶ ἐπικλαύσας ; il traduit *his igitur permotus Bittitus ille illachrymansque.* — Presque tous les mss. Βίτιτος.

Hèraclées à Tib. Néron et à Mallius Torquatus; dans les parages de la Ligystique et de la mer Celtique, à Marcus Pomponius; dans ceux de la Libye, de Sardone (Sardaigne), de Cyrnos (Corse) et des îles voisines, à Lentulus Marcellinus et à Puplius Atilius.....

CII (O). ..... [Mithridate[1]] formait d'autres projets encore plus extraordinaires : il devait se jeter par la Thrace dans la Macédonie et de là chez les Pæones, puis, franchissant les monts Alpées, entrer en Italie.....

CIX (O). Mais lui (Mithridate, après tous ses désastres)..... n'avait dans le cœur rien de bas, rien de conforme à ses malheurs : il pensait à se rendre chez les Celtes dont il s'était fait depuis longtemps des amis dans cette intention, pour passer avec eux en Italie[2]. Il espérait qu'une grande partie de l'Italie elle-même, en haine des Romains, se joindrait à lui. Il savait qu'Annibas avait fait ainsi.....; que Spartacus..... etc..... Dans ces pensées, il allait courir chez les Celtes.....

CXI. ..... Apercevant[3] un certain Bitœtos, chef des Celtes : « Ton bras, lui dit-il, m'a bien servi contre mes ennemis; il me rendra aujourd'hui le plus grand de tous les services, si tu veux m'ôter la vie; car je cours risque d'être emmené pour orner la pompe d'un triomphe, moi pendant longtemps le maître, le roi d'un si grand empire..... » Bitœtos, fléchi [par cette prière], vint en aide au roi en ce pressant besoin.

1. Après ses premières défaites par Pompée.

2. Sur ces anciennes relations de Mithridate avec les Celtes, etc., v. Justin, XXXVIII, III, 6 : ..... intelligens, quantum bellum suscitaret, legatos ad Cimbros, alios ad Gallo-Græcos et Sarmatas, Bastarnasque auxilium petitum mittit (an de R. 665). — V. ci-apr. p. 74-75.

3. Mithridate qui avait essayé vainement de s'ôter la vie par le poison. — An de R. 690, av. J.-C. 64.

CXII. (H. Est., p. 249.) ..... Ἐν ᾧ Βιθυνίας ἐκράτησε πολλάκις καὶ Καππαδοκίας · Ἀσίαν τε ἐπέδραμε, καὶ Φρυγίαν καὶ Παφλαγονίαν καὶ Γαλατίαν καὶ Μακεδόνας..... Οὐδεμίαν γέ τοι κατὰ Ῥωμαίων ὁδὸν ἐς ἐπιχείρησιν, οὐδ' ἡττώμενος, παρέλιπεν · ὃς καὶ Σαυνίταις [1] καὶ Κελτοῖς συνετίθετο, καὶ ἐς Σερτώριον ἔπεμπεν ἐς Ἰβηρίαν.....

CXIV. (H. Est., p. 251.) ..... Ἐποίει δὲ καὶ τετράρχας, Γαλλογραικῶν μὲν, οἱ νῦν εἰσι Γαλάται Καππαδόκαις ὅμοροι, Δηιόταρον καὶ ἑτέρους.....

CXVIII. (H. Est., p. 270.) ..... Παφλαγονίαν τε καὶ Γαλατίαν ὀξέως ἀνελάβοντο.....

CXIX. (H. Est., p. 271.) ..... Καὶ Κελτοῖς φιλίαν ἐτίθετο, ὡς καὶ τῇδε ἐσβαλῶν ἐς τὴν Ἰταλίαν.....

[Βίβλος] Ἰλλυρική.

II. (H. Est., p. 757.) Φασὶ δὲ, τὴν μὲν χώραν ἐπώνυμον Ἰλλυριοῦ, τοῦ Πολυφήμου, γενέσθαι. Πολυφήμῳ γὰρ τῷ Κύκλωπι καὶ Γαλατείᾳ Κελτὸν καὶ Ἰλλυριὸν καὶ Γάλαν παῖδας ὄντας, ἐξορμῆσαι Σικελίας, καὶ ἄρξαι τῶν δι' αὐτοὺς Κελτῶν, Ἰλλυριῶν καὶ Γαλατῶν λεγομένων..... Ἰλλυρίῳ δὲ παῖδας..... Αὐταριέα..... ὅθεν εἰσὶν Αὐταριεῖς..... Αὐταριεῖ δὲ αὐτῷ Παννόνιον ἡγοῦνται παῖδα ἢ Παίονα γενέσθαι, καὶ Σκορδίσκον Παίονι καὶ Τρίβαλλον.....

III. (H. Est., p. 757.) Γένη δ' ἔστιν Ἰλλυριῶν, ὡς

1. Les mss. et les édit. antérieures à Schweigh. εὐανίταις ou εὐονίταις. Schweigh. appuie sa correction qui a été généralement adoptée, sur un passage de Diodore (Phot. Excerpt., ex libro XXXVII, édit. Didot, t. II, p. 562).

CXII (O). ..... Dans cette guerre (contre les Romains), à plusieurs reprises il demeura maître de la Bithynie et de la Cappadocie; il fit des incursions en Asie, en Phrygie, en Paphlagonie, en Galatie et chez les Macédones..... Il ne négligea, même vaincu, aucun moyen d'attaquer les Romains; il traita même avec les Saunites et les Celtes, et envoya des députés à Sertorius en Ibèrie.....

CXIV. ..... Il (Pompée) fit même des tétrarques chez les Gallogrecs, — aujourd'hui les Galates limitrophes des Cappadoces, — Dèjotaros et d'autres.....

CXVIII (O). ..... La Paphlagonie et la Galatie..... furent promptement reprises par eux (les Romains).

CXIX. ..... Il (Mithridate) avait fait amitié avec les Celtes, croyant par ce moyen envahir l'Italie.....

L'Illyrique.

II. On dit que le pays (l'Illyrie) doit son nom à Illyrios, fils de Polyphème. Polyphème le Cyclope et Galatée eurent pour fils Celtos, Illyrios et Galas qui partirent de la Sicélie, et qui furent la souche des peuples appelés à cause d'eux *Celtæ*, *Illyrii et Galatæ*..... Illyrios eut entre autres enfants Autariée, d'où sortent les Autariens. Autariée, à ce qu'on croit, engendra Pannonios ou Pæon; Pæon, Scordiscos et Triballos[1].....

III. Les peuples de l'Illyrie sont nombreux : le pays

1. Par cette généalogie on voit que les Scordisques étaient proches parents des Celtes. — Cf. Strab., VII, II, 2, et V, 2; dans notre t. I, p. 212-213, 216-217; Justin, XXXII, 3. — V. ci-dessous, ch. V, p. 78-79.

ἐν τοσῇδε χώρᾳ, πολλά. Καὶ περιώνυμα ἔτι νῦν, χώραν νεμόμενα πολλήν, Σκορδίσκων καὶ Τριβαλλῶν.....

IV. (H. Est., p. 758.) Αὐταριέας [1] δὲ καὶ ἐκ θεοβλαβείας Ἀπόλλωνος ἐς ἔσχατον κακοῦ περιελθεῖν. Μολιστόμῳ [2] γὰρ αὐτοὺς καὶ Κελτοῖς τοῖς Κίμβροις λεγομένοις ἐπὶ Δελφοὺς συστρατεῦσαι, καὶ φθαρῆναι μὲν αὐτίκα τοὺς πλέονας αὐτῶν πρὸ ἐπιχειρήσεως, ὑετῶν σφίσι καὶ θυέλλης καὶ πρηστήρων ἐμπεσόντων [3]..... Καὶ τὴν Γετῶν ἑλώδη καὶ ἀοίκητον, παρὰ τὸ Βασταρνῶν ἔθνος [4], ᾤκησαν. Κελτοῖς δὲ ὁ θεὸς τὴν γῆν ἔσεισε, καὶ τὰς πόλεις κατήνεγκε· καὶ τὸ κακὸν οὐκ ἔληγε, μέχρι καὶ οἵδε τὰ οἰκεῖα φεύγοντες ἐνέβαλλον ἐς Ἰλλυριοὺς τοὺς συναμαρτόντας σφίσιν, ἀσθενεῖς ὑπὸ τοῦ λοιμοῦ γενομένους· καὶ ἐδῄωσάν τε τὰ ἐκείνων, καὶ τοῦ λοιμοῦ μετασχόντες ἔφυγον, καὶ μέχρι Πυρήνης ἐλεηλάτουν. Ἐπιστρέφουσι δ' αὐτοῖς ἐς τὴν ἕω, Ῥωμαῖοι δεδιότες, ὑπὸ μνήμης τῶν προπεπολεμηκότων σφίσι Κελτῶν, μὴ καὶ οἵδε ἐς τὴν Ἰταλίαν ὑπὲρ Ἄλπεις ἐσβάλοιεν, ἀπήντων ἅμα τοῖς ὑπάτοις, καὶ πανστρατιᾷ διώλλυντο. (H. Est., p. 759.) Καὶ τὸ πάθος τοῦτο Ῥωμαίων μέγα δέος Κελτῶν ἐς ὅλην τὴν Ἰταλίαν ἐνέβαλε· μέχρι Γάιον Μάριον ἑλόμενοι σφῶν οἱ Ῥωμαῖοι στρατηγεῖν, ἄρτι Λιβύων τοῖς Νομάσι καὶ Μαυρουσίοις

1. Forme ordinaire Αὐταριάται.

2. Ce nom propre est omis dans la trad. de Candidus.

3. *Sic* Hœsch. et les mss. mon. gr. 374, venet.

4. Comp. *Mithrid.*, LXIX : Θρᾳκῶν ὅσα γένη παρὰ τὸν Ἴστρον ἢ Ῥοδόπην ἢ τὸν Αἷμον οἰκοῦσιν, καὶ ἐπὶ τοῖσδε Βαστάρναι, τὸ ἀλκιμώτατον αὐτῶν γένος (peuples alliés de Mithridate en Europe). — V. *infr.*, XXII, ... Δακῶν καὶ Βασταρνῶν..... οἳ πέραν εἰσὶ τοῦ Ἴστρου.....

est si grand ! Encore aujourd'hui sont en renom comme habitant une vaste contrée, les Scordisques et les Triballes..... (*L'auteur marque ensuite les migrations de ces peuples.*)

IV (O). Les Autariens, en butte à la colère d'Apollon, tombèrent au dernier degré du malheur : ils avaient porté la guerre à Delphes avec Molistome[1] et les Celtes appelés Cimbres. La plupart d'entre eux périrent avant l'entreprise, sous les pluies, les tempêtes, les coups de foudre qui fondirent sur eux..... ; ils finirent par aller habiter chez les Gétes une contrée marécageuse, inhabitée, près des Bastarnes. Quant aux Celtes, le dieu secoua leur terre, abîma leurs villes, et ces maux ne cessèrent point jusqu'à ce que fuyant, eux aussi, leurs demeures propres, ils se jetèrent dans le pays des *Illyrii*, leurs complices, alors affaiblis par la peste. Ils pillèrent ces contrées ; mais ayant eu eux-mêmes leur part du fléau, ils s'enfuirent et portèrent leurs ravages jusqu'à la Pyrènè. Comme ils tournèrent vers l'est, les Romains, qui se souvenaient des guerres que leur avaient faites jadis les Celtes, craignirent que ceux-là de même, franchissant les Alpes, ne se jetassent sur l'Italie ; ils allèrent à la rencontre de cet ennemi avec leurs consuls et furent exterminés en masse[2]. Ce désastre des Romains porta dans toute l'Italie la terreur du nom des Celtes, jusqu'à ce que Rome ayant choisi pour commander ses armées Gaius Marius qui venait de guerroyer avec vigueur en Libye contre les

1. Le nom de ce chef gaulois ou cimbre ne se trouve pas ailleurs.
2. Tout cela est un peu confus : Appien paraît sauter brusquement de l'année 475 de R., 279 av. J.-C., à l'année 649, 105. — Cf. *supr.*, épitomé du livre *Celtique*, p. 24-31.

ἐγκρατῶς πεπολεμηκότα, τοὺς Κίμβρους ἐνίκων, καὶ πολὺν φόνον αὐτῶν εἰργάσαντο πολλάκις, ὥς μοι περὶ Κελτῶν λέγοντι εἴρηται. Οἱ δὲ, ἀσθενεῖς τε ἤδη γενόμενοι, καὶ πάσης γῆς ἀποκλειόμενοι διὰ τὸ ἀσθενὲς, ἐς τὰ οἰκεῖα ἐπανῆλθον, πολλὰ καὶ δράσαντες καὶ παθόντες.

V. Τοιοῦτον μὲν δὴ τέλος τῆς ἀσεβείας ὁ θεὸς ἐπέθηκεν Ἰλλυριοῖς τε καὶ Κελτοῖς. Οὐ μὴν ἀπέσχοντο τῆς ἱεροσυλίας· ἀλλ' αὖθις, ἅμα τοῖς Κελτοῖς, Ἰλλυριῶν οἱ Σκορδίσκοι μάλιστα, καὶ Μαῖδοι καὶ Δάρδανοι, τὴν Μακεδονίαν ἐπέδραμον ὁμοῦ καὶ τὴν Ἑλλάδα, καὶ πολλὰ τῶν ἱερῶν, καὶ τὸ Δελφικὸν ἐσύλησαν, πολλοὺς ἀποβαλόντες ὅμως καὶ τότε. Ῥωμαῖοι δ', ἔχοντες ἤδη δεύτερον καὶ τριακοστὸν [1] ἔτος ἀπὸ τῆς πρώτης ἐς Κελτοὺς πείρας, καὶ ἐξ ἐκείνου πολεμοῦντες αὐτοῖς ἐκ διαστημάτων, ἐπιστρατεύουσι τοῖς Ἰλλυριοῖς ἐπὶ τῇδε τῇ ἱεροσυλίᾳ, ἡγουμένου Λευκίου Σκιπίωνος, ἤδη τῶν τε Ἑλλήνων καὶ Μακεδόνων προστατοῦντες. Καί φασι τοὺς μὲν περιχώρους οὐ συμμαχῆσαι τοῖς ἱεροσύλοις, ἀλλ' ἑκόντας ἐγκαταλιπεῖν τῷ Σκιπίωνι ἀβοηθήτους, μνήμῃ τῶν δι' Αὐταριέας ἐς πάντας Ἰλλυριοὺς συμπεσόντων· Σκιπίωνα δὲ Σκορδίσκους μὲν διαφθεῖραι, καὶ εἴ τι λοιπὸν αὐτῶν ἦν, ἐς τὸν Ἴστρον καὶ τὰς νήσους τοῦ ποταμοῦ μετοικῆσαι φυγόντας.....

1. Schweigh. croit qu'il y a ici une erreur de nombre; avec δεύτερον καὶ τριακοστὸν ἔτος ἀπὸ πρώτης..... πείρας, il ne voit pas quelle serait la première affaire entre les Romains et les Celtes. Si on lisait, dit-il, ἔχοντες ἤδη διακοσιοστὸν ἔτος, cela se rapporterait à la première guerre des Gaulois contre les Romains, guerre célèbre par la prise de Rome.

Nomades (Numides) et les *Maurusii*, vainquit les Cimbres et en fit à plusieurs reprises un grand carnage, comme je l'ai dit en parlant des Celtes[1]. Ces peuples, dès lors affaiblis, et en raison de leur faiblesse exclus de partout, retournèrent dans leurs propres demeures après avoir fait bien du mal et avoir beaucoup souffert.

V (O). C'est ainsi que le dieu mit fin à cette impiété des *Illyrii* et des Celtes : ils ne s'abstinrent pas pourtant de piller les temples : on vit encore, avec les Celtes, des peuples d'Illyrie, les Scordisques surtout, et les Mædes et les Dardanes faire des incursions en même temps dans la Macédonie et dans l'Hellade, et piller plusieurs temples, notamment celui de Delphes, non toutefois sans y perdre encore beaucoup de monde[2]. Les Romains, trente-deux ans après leur première tentative contre les Celtes, et depuis lors guerroyant avec eux par intervalles, firent une expédition contre les *Illyrii* au sujet de ce pillage des temples. Leucius Scipion les commandait, et ils avaient déjà établi leur empire sur les Hellènes et les Macédones. On dit que les voisins de ces pillards sacrilèges ne s'allièrent point avec eux et que volontiers ils les abandonnèrent sans secours à Scipion, en se souvenant des calamités que les Autariens avaient attirées sur toute l'Illyrie. [On ajoute] que Scipion anéantit les Scordisques, et que le peu qu'il en resta s'enfuit et alla s'établir sur les bords de l'Ister et dans les îles de ce fleuve.....

1. Ce passage du livre *Celtique* ne nous est pas parvenu. — V. toutefois *supr.*, p. 28-31.

2. Sur cette invasion de la Grèce par les Gaulois, v. ci-après les extraits de Pausanias.

VIII. (H. Est., p. 760.) ..... Ῥωμαίων γὰρ Κελτοῖς ἐπὶ τριετὲς τοῖς ἀμφὶ τὸν Ἠριδανὸν οὖσι πολεμούντων [1], ὁ Δημήτριος, ὡς ὄντων ἐν ἀσχολίᾳ, τὴν θάλασσαν ἐληΐζετο, καὶ Ἴστρους, ἔθνος ἕτερον Ἰλλυριῶν, ἐς τοῦτο προσελάμβανε, καὶ τοὺς Ἀτιντανοὺς ἀπὸ Ῥωμαίων ἀφίστη. Οἱ δὲ, ἐπεὶ τὰ Κελτῶν διετέθειτο, εὐθὺς μὲν ἐπιπλεύσαντες, αἱροῦσι τοὺς λῃστάς · ἐς νέωτα δὲ ἐστράτευον ἐπὶ Δημήτριον, καὶ Ἰλλυριῶν τοὺς συναμαρτόντας αὐτῷ.....

XII. (H. Est., p. 761.) Τοῦ δὲ Καίσαρος ἡγουμένου Κελτῶν, οἱ Δαλμάται οἵδε, καὶ ὅσοι ἄλλοι Ἰλλυριῶν τότε μάλιστα διευτύχουν, Λιβυρνοὺς, ἕτερον ἔθνος Ἰλλυριῶν, Πρωμόναν πόλιν ἀφείλοντο.....

XV. (H. Est., p. 762.) ..... Ὁ Σεβαστὸς τὰς ἑαυτοῦ πράξεις συνέγραφεν [2] · ὡς..... πάντας ἐκρατύνατο ὅσοι τὰς κορυφὰς οἰκοῦσι τῶν Ἄλπεων, βάρβαρα καὶ μάχιμα ἔθνη, καὶ κλοπεύοντα τὴν Ἰταλίαν ὡς γείτονα. Καί μοι θαῦμά ἐστιν, ὅτι καὶ πολλοὶ καὶ μεγάλοι Ῥωμαίων στρατοὶ ἐπὶ Κελτοὺς καὶ Ἴβηρας διὰ τῶν Ἄλπεων ὁδεύοντες, ὑπερεῖδον τάδε τὰ ἔθνη (H. Est., p. 763) · καὶ οὐδὲ Γάιος Καῖσαρ, εὐτυχέστατος ἐς πολέμους ἀνὴρ, ἐξήνυσεν αὐτὰ, ὅτε Κελτοῖς ἐπολέμει, καὶ δέκα ἔτεσιν ἀμφὶ τήνδε τὴν χώραν ἐχείμαζεν. Ἀλλά μοι δοκοῦσιν οἱ μὲν, ἐφ' ἃ ᾑρέθησαν ἐπειγόμενοι, τῆς διόδου τῶν Ἄλπεων μόνης φροντίσαι · ὁ δὲ Γάιος ἀμφί τε τὰ Κελτικὰ γενέσθαι, καὶ, τῆς στάσεως τοῦ Πομπηίου τὰ Κελτικὰ ἐπιλαβούσης, τὸ τούτων τέλος ὑπερθέσθαι. Φαίνεται μὲν γὰρ καὶ Ἰλλυρίδος

1. Candid. : Romanis quippe per triennium circa Eridanum cum Celtis dimicantibus. — Seyssel : Entendant qu'ilz estoient occupez à la guerre contre les Celtes, emprès la rivière d'Eridanus, laquelle guerre dura trois ans.

2. Ces mémoires d'Auguste *de Vita sua,* en 13 livres, allaient jusqu'à la guerre des Cantabres, an de R. 727. Suétone, *Octav. Aug.*, LXXXV. — Appien, *ib.*, XIV, dit avoir consulté ces ὑπομνήματα.

VIII (O)...... Les Romains étaient depuis trois ans en guerre avec les Celtes de l'Eridan[1], lorsque Dèmètrios[2] les voyant dans cet embarras se mit à courir la mer pour piller, s'adjoignit pour cela les Istres, autre peuple de l'Illyrie, et détacha de Rome les Atintanes. Mais dès que les affaires avec les Celtes furent arrangées, une flotte fit voile contre lui, s'empara des brigands, etc.....

XII (O). Pendant que Cæsar commandait dans la Celtique, les Dalmates et tous les autres *Illyrii* dont l'état était alors le plus prospère enlevèrent aux Liburnes, autre peuple d'Illyrie, la ville de Promona.....

XV (O)...... Sébastos (Auguste) écrivit sa propre histoire, — comment il soumit tous les peuples qui habitent les sommets des Alpes, peuples barbares, batailleurs, qui ravageaient l'Italie dont ils étaient voisins. C'est pour moi un sujet d'étonnement que les Romains qui, marchant contre les Celtes et les Ibères, firent maintes fois passer de grandes armées à travers les Alpes, aient si longtemps négligé ces peuples. Gaius Cæsar, le plus heureux des hommes de guerre, ne finit rien de ce côté tandis qu'il faisait la guerre aux Celtes, et que, durant dix années, il prenait près de ces contrées-là ses quartiers d'hiver. Mais les Romains, je crois, marchant droit à leurs buts, ne s'occupèrent que de faire passer les Alpes à leurs troupes, et Gaius occupé dans la Celtique, puis tout entier à sa querelle avec Pompée, laquelle vint après ces guerres, remit à plus tard d'en finir avec ces peuples. On voit bien, en

1. La Gaule circumpadane. An de R. 532, av. J.-C. 222.

2. Gouverneur de Pharos en Illyrie, qui avait trahi le roi Agron en faveur des Romains et qui alors se retournait contre eux.

ἅμα Κελτοῖς αἱρεθεὶς ἄρχειν · οὐ πάσης δ' ἄρα ἦρχεν, ἀλλ' ὅση τις ἦν τότε Ῥωμαίοις Ἰλλυρίς.

XXIX. (H. Est., p. 766.) ..... Ῥαιτοὺς μὲν οὖν καὶ Νωρικοὺς ἡγοῦμαι Γάιον Καίσαρα, πολεμοῦντα Κελτοῖς, ἐπιλαβεῖν · ἢ τὸν Σεβαστὸν, χειρούμενον Παίονας · ἐν μέσῳ γάρ εἰσιν ἀμφοτέρων.....

ΕΜΦΥΛΙΩΝ

ΒΙΒΛΟΥ Α'.

IV. (H. Est., p. 351.) Μετὰ δὲ Σύλλαν αὖθις ὅμοια ἀνερριπίζετο, μέχρι Γάιος Καῖσαρ, αἱρετὴν ἀρχὴν ἐπὶ πολὺ δυναστεύων ἐν Γαλατίᾳ, τῆς βουλῆς αὐτὸν ἀποθέσθαι κελευούσης, αἰτιώμενος, οὐ τὴν βουλὴν, ἀλλὰ Πομπήιον, ἐχθρὸν ὄντα οἱ, καὶ στρατοῦ περὶ τὴν Ἰταλίαν ἡγούμενον, ὡς τῆς ἀρχῆς αὐτὸν ἐπιβουλεύοντα παραλύειν · προὐτίθει προκλήσεις · ἢ ἄμφω τὰ στρατεύματα ἔχειν, ἐς τῆς ἔχθρας τὴν ἀφοβίαν, ἢ καὶ Πομπήιον οὓς ἔχοι μεθέντα ἰδιωτεύειν ὁμοίως ὑπὸ νόμοις. Οὐ πείθων δ' ἐς οὐδέτερα, ἐκ Γαλατίας ἤλαυνεν ἐπὶ τὸν Πομπήιον ἐς τὴν πατρίδα.....

XXIX. (H. Est., p. 367.) ..... Ὁ μὲν Ἀπουλήιος νόμον ἐσέφερε · Διαδάσασθαι γῆν, ὅσην ἐν τῇ νῦν ὑπὸ Ῥωμαίων καλουμένῃ Γαλατίᾳ Κιμβροὶ γένος [1] Κελτῶν

1. Cf. *supr*. Liv. *Celtiq.*, IV, et Liv. *Illyr.*, IV. V. surtout Plutarq., *Mar.*, XI, dans notre t. III, p. 138 et ss.

effet, qu'il reçut à la fois le gouvernement de l'Illyride et de la Celtique ; toutefois ce gouvernement ne s'étendit pas à toute l'Illyride, mais à la partie qui, dès lors, était soumise aux Romains.

XXIX (O). ..... Quant aux Rhætes et aux Nôriques, je crois que leur pays fut conquis par Gaius Cæsar pendant qu'il faisait la guerre aux Celtes, ou par Sébastos (Auguste), pendant qu'il soumettait les Pæones (Pannoniens) ; car ils sont placés entre les deux.....

GUERRES CIVILES.

I.

IV (O). Après Sylla, de pareilles [discordes] s'allumèrent encore jusqu'à ce que Gaius Cæsar, investi par élection d'un pouvoir qu'il garda longtemps en Galatie (Gaule), répondit au sénat qui lui ordonnait de s'en démettre, en accusant, non le sénat, mais Pompée : Pompée était son ennemi ; il était à la tête de l'armée d'Italie ; il méditait de lui retirer son commandement. Cæsar propose des conditions : ou bien les deux généraux gardent leurs armées pour n'avoir pas à craindre l'inimitié l'un de l'autre ; ou bien Pompée, ayant licencié ses troupes, rentre pareillement dans la vie privée sous les lois. Mais il ne gagna rien ni sur un point ni sur l'autre, et, quittant la Galatie (Gaule), il marcha contre Pompée et contre sa patrie.....

XXIX. ..... Apulèius porta une loi[1] pour le partage des terres qui, dans ce qu'on appelle aujourd'hui Galatie (Gaule) romaine, avaient été occupées par les

1. An de R. 653, av. J.-C. 101.

κατειλήφεσαν · καὶ αὐτοὺς ὁ Μάριος ἔναγχος ἐξελάσας, τὴν γῆν ὡς οὐκέτι Γαλατῶν, ἐς Ῥωμαίους περιεσπάκει.....

XLII. (H. Est., p. 376.) ..... Σέξτου δὲ Καίσαρος Γαλατῶν πεζοὺς μυρίους, καὶ Νομάδας Μαυρουσίους ἱππέας καὶ πεζοὺς προσλαβόντος τε καὶ χωροῦντος ἐπὶ τὰς Ἀχέρρας.....

L. (H. Est., p. 380.) ..... Ἀφικομένων δ' αὐτῷ Γαλατῶν, αὖθις ἐπλησίαζε τῷ Σύλλᾳ, καὶ συνιόντων τῶν στρατῶν, Γαλάτης ἀνὴρ μεγέθει μέγας προδραμὼν προὐκαλεῖτό τινα Ῥωμαίων ἐς μάχην. Ὡς δ' αὐτὸν ὑποστὰς Μαυρούσιος ἀνὴρ βραχὺς ἔκτεινεν, ἐκπλαγέντες οἱ Γαλάται, αὐτίκα ἔφευγον.....

LXI. (H. Est., p. 387.) Ὁ δὲ Μάριος αὐτοὺς ἐς Μιντούρνας διέφυγεν, ἔρημος ὑπηρέτου τε καὶ θεράποντος. Καὶ αὐτὸν οἱ τῆς πόλεως ἄρχοντες, ἀναπαυόμενον ἐν οἴκῳ ζοφώδει, δεδιότες μὲν τὸ κήρυγμα τοῦ δήμου, φυλαττόμενοι δὲ ἀνδρὸς ἑξάκις ὑπατεύσαντος καὶ πολλὰ καὶ λαμπρὰ εἰργασμένου αὐθένται γενέσθαι, Γαλάτην ἄνδρα[1] ἐπιδημοῦντα μετὰ ξίφους ἐσέπεμψαν ἀνελεῖν. Τὸν δὲ Γαλάτην φασὶν ἐν τῷ σκότῳ προσιόντα τῷ στιβαδίῳ, δεῖσαι, δόξαντα τοὺς ὀφθαλμοὺς τοῦ Μαρίου πυρὸς αὐγὴν καὶ φλόγα ἀφιέναι. Ὡς δὲ καὶ ὁ Μάριος αὐτὸς ἐπανιστάμενος ἐκ τῆς εὐνῆς, ἀνεβόησε παμμέγεθες αὐτῷ · Σὺ

1. V. notre t. III, p. 182-185, Plutarq., *Marius*, XXXIX et la note. — Vell. Patercul., II, XIX : ..... in carcerem Minturnensium jussu duumviri perductus est. Ad quem interficiendum *missus cum gladio* servus publicus, natione *Germanus*, qui forte ab imperatore eo, bello Cimbrico captus erat, ut agnovit Marium, *magno ejulatu* exprimenti indignationem casus tanti viri, abjecto gladio, profugit e carcere.....

Cimbres, peuple de race celtique. Ces barbares, Marius les en avait chassés naguère, et, jugeant que ce pays n'était plus aux Galates (Gaulois), il l'avait distrait de la Galatie (Gaule) pour le donner aux Romains.

XLII (O)...... Sextus Cæsar[1] prend avec lui dix mille fantassins Galates (Gaulois), des Nomades (Numides) et des Maurusies (Mauritaniens), cavaliers et fantassins, et marche contre Acherres.....

L. ..... Un renfort de Galates (Gaulois) lui étant arrivé, il (Cluentius) se rapprocha de Sylla[2]. Quand les deux armées furent en présence, un Galate (Gaulois), d'une haute stature, provoqua un des Romains au combat. Un Maurusie de petite taille lui tint tête et le tua; les Galates, frappés de terreur, s'enfuient aussitôt.....

LXI. Marius[3] échappa à toutes les recherches; il arriva à Minturnes, n'ayant avec lui ni un officier ni un serviteur. Comme il se reposait dans une maison très sombre, les magistrats de la ville effrayés par le décret du peuple (qui le mettait hors la loi), mais se donnant bien de garde de se faire les meurtriers d'un homme qui avait été six fois consul et avait accompli tant de grandes choses, envoyèrent avec une épée pour le tuer un Galate (Gaulois) qui demeurait chez eux. Le Galate, dit-on, en s'avançant dans les ténèbres vers le grabat de Marius, eut peur : il avait cru voir jaillir des yeux de Marius des éclairs et des flammes. Ce fut bien autre chose lorsque Marius lui-même, se dressant hors de sa couche, lui cria d'une voix forte : — « Oserais-tu

1. Pendant la guerre sociale.
2. An de R. 664, av. J.-C. 90.
3. An de R. 665, av. J.-C. 89.

τολμᾷς κτεῖναι Γάιον Μάριον ; προτροπάδην ὁ Γαλάτης ἔφευγεν ἔξω διὰ θυρῶν, μεμηνότι ἐοικὼς, καὶ βοῶν · Οὐ δύναμαι κτεῖναι Γάιον Μάριον.....

LXII. Ταῦτ' οὖν οἱ τῆς Μιντούρνης ἄρχοντες ἐνθυμούμενοι, καὶ τὸν Γαλάτην ἔνθουν κατὰ δαίμονα καὶ περιδεᾶ νομίζοντες γεγονέναι, τὸν Μάριον αὐτίκα τῆς πόλεως ἐξέπεμπον ὅπη δύναιτο σώζεσθαι.....

LXVI. (H. Est., p. 390.) ..... Ἐπὶ δὲ στρατιὰν ἔς τε τὰς ἑτέρας πόλεις τὰς ἔτι σφῶν κατηκόους, καὶ ἐς τὴν ἀγχοῦ Γαλατίαν περιέπεμπον (Ὀκταούιος καὶ Μερόλας, οἱ ὕπατοι).....

LXVII. (H. Est., p. 391.) ..... Καὶ Κίννας, ἐπιπέμψας[1], Ἀρίμινον κατέλαβε, τοῦ μή τινα στρατιὰν ἐς τὴν πόλιν ἐπελθεῖν ἐκ τῆς ὑπηκόου Γαλατίας.

LXXIV. (H. Est., p. 395.) ..... καὶ Λουτατίῳ Κάτλῳ, τῷ Μαρίου περὶ τὰ Κιμβρικὰ συνάρχῳ..... Κίννας δ' ἐπεὶ πολλάκις αὐτοῖς (τοῖς θεράπουσιν[2]) ἀπαγορεύων οὐκ ἔπειθε, Γαλατῶν στρατιὰν αὐτοῖς ἔτι νυκτὸς ἀναπαυομένοις περιστήσας, διέφθειρε πάντας.....

LXXVII. (H. Est., p. 396.) Σύλλας δ' ἐπὶ φρονήματος ἐπέστελλε τῇ βουλῇ περί τε αὐτοῦ, καταλέγων ὅσα περὶ Λιβύην ἐς Ἰουγόρθαν τὸν Νομάδα, ἔτι ταμιεύων, ἐπὶ τοῖς Κιμβρικοῖς, πρεσβεύων....., ἔπραξε.....

LXXXVI. (H. Est., p. 402.) ..... Πλέονος δ' ἀεὶ τοῖς ὑπάτοις (Γαίῳ Νωρβανῷ καὶ Λευκίῳ Σκιπίωνι) γιγνομένου στρατοῦ, ἀπό τε τῆς πλέονος Ἰταλίας ἔτι σφίσι συνεστώσης, καὶ ἀπὸ τῆς ὁμόρου περὶ τὸν Ἠριδανὸν Γαλατίας · οὐδ' ὁ Σύλλας ἠμέλει.....

1. *Sic* tous les mss. et la première édition. — 2. Les esclaves que Cinna avait affranchis pour s'en faire des soldats.

bien, toi, tuer Gaius Marius? » Le Galate fit volte-face et s'enfuit dehors, semblable à un fou et criant : — « Je ne puis tuer Gaius Marius. ».....

LXII. Les magistrats de Minturnes..... persuadés que le Galate avait obéi à un dieu, et que d'un dieu lui était venu cet effroi, renvoyèrent aussitôt Marius de leur ville, pour qu'il se sauvât où il pourrait.....

LXVI (O). ..... Pour avoir des troupes (les consuls Octavius et Mérula) envoyèrent dans les autres villes qui leur obéissaient encore et dans les contrées de la Galatie (Gaule) les plus voisines.....

LXVII. ..... (O). Cinna envoya occuper Ariminum pour fermer l'entrée de cette ville à des troupes venant de la Galatie (Gaule) romaine.....

LXXIV. ..... (O). Lutatius Catlus, collègue de Marius dans la guerre contre les Cimbres..... Ces affranchis, Cinna qui souvent leur avait interdit (toutes ces violences) sans rien gagner, les fit envelopper la nuit, pendant qu'ils reposaient encore, par une troupe de Galates (Gaulois) et massacrer jusqu'au dernier.....

LXXVII (O). Sylla, dans son orgueil, écrivit au sénat une lettre où il énumérait tout ce qu'il avait fait en Libye contre Jugortha le Nomade (Numide), alors qu'il était encore questeur, dans la guerre des Cimbres en qualité de lieutenant, etc.

LXXXVI (O). Sans cesse grossissaient les armées des consuls (Gaius Norbanus et L. Scipion), grâce aux renforts qui leur venaient et de l'Italie dont la plus grande partie était encore avec eux, et de la Galatie voisine qui entoure l'Eridan (Gaule circumpadane). Sylla, de son côté, ne s'endormait pas.....

XCII. (H. Est., p. 318.) ..... Γαλάται τε ὅσοι ἀπὸ Ῥαβέννης[1] ἐπὶ τὰ Ἄλπεια παρήκουσιν, ἀθρόως ἐς Μέτελλον μετετίθεντο.....

CVII. (H. Est., p. 418.) ..... Κληρωσάμενος δ' ὁ Λέπιδος τὴν ὑπὲρ Ἄλπεις Γαλατίαν, ἐπὶ τὰ ἀρχαιρέσια οὐ κατήει.....

CIX. (H. Est., p. 419.) Ὁ δὲ ἐς τὰ Ἄλπεια ὄρη μετὰ φρονήματος ἀνήει, οὐ[2] κατὰ τὴν Ἀννίβου μεγαλουργίαν, ἑτέραν δ' ἐχάρασσεν ἀμφὶ ταῖς πηγαῖς τοῦ τε Ῥοδανοῦ καὶ Ἠριδανοῦ · οἳ ἀνίσχουσι μὲν ἐκ τῶν Ἀλπείων ὀρῶν οὐ μακρὰν ἀπ' ἀλλήλων, ῥεῖ δ' ὁ μὲν διὰ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις εἰς τὴν Τυρρηνικὴν θάλασσαν[3], ὁ δὲ ἔνδοθεν τῶν Ἀλπείων, ἐπὶ τὸν Ἰόνιον, Πάδος ἀντὶ Ἠριδανοῦ μετονομασθείς[4].....

CXVII. (H. Est., p. 424.) ..... Σπάρτακον δὲ, διὰ τῶν Ἀπεννίνων ὀρῶν ἐπὶ τὰ Ἄλπεια καὶ ἐς Κελτοὺς ἀπὸ τῶν Ἀλπείων ἐπειγόμενον, ὁ ἕτερος ὕπατος προλαβὼν, ἐκώλυε τῆς φυγῆς, καὶ ὁ ἕτερος ἐδίωκεν.....

1. Les anc. édit. ὑπὸ Ῥαβ. — Musgr. avait corrigé ἀπὸ et cette leçon est celle de A (Mon. gr. 374).

2. Gelenius supprimait la négation que lisait Candide. — Schweigh. a parfaitement démontré la nécessité de cette négation par la présence, au commencement du membre de phrase qui suit, de la particule d'opposition δὲ.

3. Cf. *supr.* Prooem., III, p. 1, surtout cette phrase : ἀπὸ δὲ Ἰωνίας..... ἐστὶ..... καὶ ἡ Τυρρηνὴ (*sic*) θάλασσα μέχρι τῶν Ἡρακλείων στηλῶν.

4. Appien a dit de même (*Annib.*, V) : ποταμὸν Ἠριδανὸν τὸν νῦν Πάδον λεγόμενον.

XCII. ..... Tous les Galates (Gaulois) qui s'étendent de Ravenne aux Alpies[1] passèrent en masse du côté de Métellus.....

CVII. .....[2]. Lépidus, à qui le sort avait donné la Galatie transalpine, ne revint point pour les comices.....

CIX. Il (Pompée) passa d'un fier courage les monts Alpies[3], non pas par la route si laborieuse d'Annibas[4], mais par une autre qu'il ouvrit entre les sources du Rhodan et de l'Eridan. Ces deux fleuves sortent des monts Alpies, non loin l'un de l'autre, et coulent, l'un à travers la Celtique transalpine, vers la mer Tyrrhènique, l'autre en deçà des Alpies, vers la mer Ionienne; c'est celui qui, au lieu du nom d'Eridan, a pris le nom de Pade.....

CXVII. ..... (O). Spartacus[5] courait à travers les monts Apennins vers les Alpies, pour descendre des Alpies chez les Celtes, quand l'un des consuls l'empêcha de fuir, tandis que l'autre le poursuivait.....

1. An de Rome 671, av. J.-C. 83. — Notez ici une singularité de la traduction de Cl. de Seyssel : « D'autre costé les *Gaux* qui habitaient entre Ravenne et les montagnes..... » Il rend ordinairement Γαλάται par Celtes ou Gaulois.

2. An de Rome 675, av. J.-C. 79.

3. En marchant contre Sertorius. — An de R. 676, av. J.-C. 78.

4. Cl. de Seyssel, ici comme presque partout, suit la trad. de Candide : « ..... s'en alla passer les Alpes, non pas par le chemin mémorable que Hannibal auoit faict, mais par vn autre..... »

5. An de R. 682, av. J.-C. 72.

ἘΜΦΥΛΙΩΝ

ΒΙΒΛΟΥ Β'.

IV. (H. Est., p. 430.) Ὧδε μὲν Λέντλῳ καὶ Κεθήγῳ καὶ Στατιλίῳ καὶ Κασσίῳ, τοῖς ἄρχουσι τῆς ἐπαναστάσεως, δέδοκτο · καὶ τὸν καιρὸν ἐπετήρουν. Ἀλλοβρίγων δὲ πρέσβεις, αἰτιώμενοι τοὺς ἡγουμένους αὐτῶν, ἐς τὴν Λέντλου συνωμοσίαν ἐπήχθησαν, ὡς ἀναστήσοντες ἐπὶ Ῥωμαίους τὴν Γαλατίαν. Καὶ Λέντλος μὲν αὐτοῖς συνέπεμπεν ἐς Κατιλίναν Βουλτούρκιον, ἄνδρα Κροτωνιάτην, γράμματα χωρὶς ὀνομάτων γεγραμμένα φέροντα. Οἱ δ' Ἀλλόβριγες ἐνδοιάσαντες, ἐκοινώσαντο Φαβίῳ Σάγγᾳ, ὃς ἦν τῶν Ἀλλοβρίγων προστάτης · ὥσπερ ἁπάσαις πόλεσιν ἔστι τις ἐν Ῥώμῃ προστάτης. Παρὰ δὲ τοῦ Σάγγα μαθὼν ὁ Κικέρων, συνέλαβεν ἀπιόντας τοὺς Ἀλλόβριγάς τε καὶ Βουλτούρκιον, καὶ ἐς τὴν βουλὴν εὐθὺς ἐπήγαγεν. Οἱ δ' ὡμολόγουν ὅσα τοῖς ἀμφὶ τὸν Λέντλον συνῄδεσαν · ἀχθέντας τε ἤλεγχον, ὡς ὁ Κορνήλιος Λέντλος εἴποι πολλάκις, εἱμάρθαι, τρεῖς Κορνηλίους γενέσθαι Ῥωμαίων μονάρχους, ὧν ἤδη Κίνναν καὶ Σύλλαν γεγονέναι.

VII. (H. Est., p. 431.) Κατιλίναν δὲ ἐς δισμυρίους τε ἀγείραντα, καὶ τούτων τεταρτημόριον ὁπλίσαντα ἤδη, καὶ ἐς Γαλατίαν ἐπὶ ἄλλην παρασκευὴν ἀπιόντα, Ἀντώνιος, ὁ ἕτερος ὕπατος, ὑπὲρ Ἄλπεις[1] καταλαβὼν, οὐ δυσχερῶς ἐκράτησεν.....

1. *Sic omnes.* Candid. *sub* ipsis Alpium radicibus (cf. Sallust., LVII); il lisait sans doute ὑπ' Ἄλπεσιν, ou ὑπ' Ἀλπείοις. Schweigh. penche pour cette leçon.

GUERRES CIVILES.

II.

IV. Tels étaient les desseins de Lentlus, de Céthègus, de Statilius et de Cassius, les chefs de l'insurrection, et ils épiaient le moment favorable[1]. Des députés des Allobriges étaient [à Rome] pour accuser ceux qui les gouvernaient. Entraînés dans la conjuration de Lentlus, ils devaient soulever la Galatie (Gaule) contre les Romains. Lentlus avait envoyé avec eux à Catilina Vulturcius de Crotône, porteur de lettres sans suscription. Les Allobriges eurent des doutes : ils les communiquèrent à Fabius Sanga qui était le patron de leur nation. — Toutes les cités ont à Rome un patron. — Cicéron, averti par Sanga, fit arrêter à leur départ les Allobriges ainsi que Volturcius et les mena tout de suite au Sénat. Ils avouèrent toute leur complicité avec Lentlus, et quand ce dernier fut amené devant eux, ils le convainquirent lui, Cornèlius Lentlus, d'avoir dit souvent que, suivant les arrêts du destin, trois Cornèlius devaient régner dans Rome ; qu'il y avait eu déjà Cornèlius Cinna et Cornèlius Sylla.....

VII (O). Catilina avait rassemblé environ 20,000 hommes, dont le quart étaient déjà armés : il s'en allait en Galatie (Gaule) pour achever ses préparatifs, lorsque Antonius, l'autre consul, l'ayant surpris au delà des Alpes, le vainquit sans peine.....

1. An de R. 690, av. J.-C. 64.

XIII. (H. Est., p. 435.) ..... Εφ' οἷς αὐτὸν εἵλοντο Γαλατίας[1] τῆς τε ἐντὸς Ἄλπεων καὶ ὑπὲρ Ἄλπεις ἐπὶ πενταετὲς ἄρχειν, καὶ ἐς τὴν ἀρχὴν ἔδοσαν τέλη στρατοῦ τέσσαρα.

XIV. (H. Est., p. 436.) ..... Δοκεῖ δὲ ὁ Κλώδιος ἀμείψασθαι πρότερος τὸν Καίσαρα, καὶ συλλαβεῖν ἐς τὴν τῆς Γαλατίας ἀρχήν.

XVII. (H. Est., p. 407.) Ὁ δὲ Καῖσαρ ἔν τε Κελτοῖς καὶ Βρεττανοῖς πολλὰ καὶ λαμπρὰ εἰργασμένος, ὅσα μοι περὶ Κελτῶν λέγοντι εἴρηται, πλούτου γέμων ἐς τὴν ὅμορον τῇ Ἰταλίᾳ Γαλατίαν, τὴν ἀμφὶ τὸν Ἠριδανὸν ποταμὸν, ἧκεν, ἐκ συνεχοῦς πολέμου τὸν στρατὸν ἀναπαύσων ἐπ' ὀλίγον.....

XXV. (H. Est., p. 442.) ..... Καὶ τὴν βουλὴν ᾔτει χρόνον ἄλλον ὀλίγον ἐς τὴν παροῦσάν οἱ τῆς Γαλατίας ἡγεμονίαν, ἢ ἐς μέρος αὐτῆς ἐπιλαβεῖν. Διακωλύσαντος δὲ Μαρκέλλου, ὃς ἐπὶ τῷ Πομπηίῳ ὕπατος ἦν, φασὶ τὸν Καίσαρα τῷ μηνύοντι ἀποκρίνασθαι, κόπτοντα τὴν λαβὴν τοῦ ξίφους · Ἥδε μοι δώσει[2].

XXVI. (H. Est., p. 443.) Πόλιν δὲ Νεόκωμον ὁ Καίσαρ ἐς Λατίου δίκαιον ἐπὶ τῶν Ἄλπεων ᾠκίκει · ὧν ὅσοι κατ' ἔτος ἦρχον, ἐγίγνοντο Ῥωμαίων πολῖται · τόδε γὰρ ἰσχύει τὸ Λάτιον. Τῶν οὖν Νεοκώμων τινὰ, ἄρχοντά τε αὐτοῖς γενόμενον, καὶ παρὰ τοῦτο Ῥωμαῖον εἶναι νομιζό-

1. *Sic* Ad. (v. la notice bibliographique) et H. Est.

2. Plutarque, *Vie de César,* XXIX, attribue cette parole à un des officiers de César, chargé par lui d'une mission à Rome : ..... ἑστῶτα πρὸ τοῦ βουλευτηρίου, καὶ πυθόμενον ὡς οὐ δίδωσιν ἡ γερουσία Καίσαρι χρόνον τῆς ἀρχῆς · Ἀλλ' αὕτη, φάναι, δώσει · κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.

XIII. ..... (O). Aussi[1] fut-il choisi pour commander durant cinq ans les Galaties d'en deçà et d'au delà les Alpes, avec quatre légions pour exercer son commandement.

XIV. ..... (O). Clodius paraît avoir été le premier à témoigner sa reconnaissance à Cæsar qu'il aida à obtenir le commandement en Galatie (Gaule).

XVII (O). Cæsar, après avoir fait chez les Celtes et chez les Brettans de nombreux et brillants exploits que nous avons racontés en parlant des Celtes, s'en vint, gorgé de richesses, dans la Galatie qui est limitrophe de l'Italie et s'étend autour de l'Eridan, pour donner, après une guerre continuelle, un peu de repos à son armée.....

XXV. ..... (O). Il (Cæsar) demandait au Sénat de lui octroyer un peu plus de temps pour son gouvernement de la Galatie (Gaule) ou, du moins, d'une partie de ce pays. Marcellus, le consul qui vint après Pompée, s'y opposa, et l'on dit que Cæsar, quand on lui signifia ce refus, répondit en frappant la poignée de son épée : « Voici qui me le donnera. »

XXVI (O). Cæsar avait fondé dans les Alpes la ville de Néocômum[2] avec droit latin, et tous ceux des habitants qui y avaient exercé une magistrature annuelle devenaient par là même citoyens romains, — car tel est l'effet du droit latin. Un habitant de cette ville qui y avait été magistrat et qui, à ce titre, était considéré

1. C'est-à-dire à cause des jeux qu'il avait donnés au peuple et des largesses qu'il avait faites : il s'agit de J. César. — An de Rome 694, av. J.-C. 60.

2. Comp. Strab., V, I, 6, dans notre t. I, p. 178-179, et Plutarque, *Cæsar*, XXIX, dans notre t. III, p. 254-255.

μενον, ὁ Μάρκελλος ἐφ' ὕϐρει τοῦ Καίσαρος ἔξηνε ῥάϐδοις ἐφ' ὅτῳ δὴ, οὐ πασχόντων τοῦτο Ῥωμαίων[1].....

XXVIII. (H. Est., p. 444.) ..... Ἀφικόμενος δ', ἄλλα τε τούτοις ὅμοια ἔλεγε, καὶ τὴν ἀρχὴν καὶ τότε ὑπισχνεῖτο ἀποθήσεσθαι. Ὡς δὲ δὴ φίλος καὶ κηδεστὴς γενόμενος Καίσαρι, κᾀκεῖνον, ἔλεγε, μάλα χαίροντα ἀποθήσεσθαι· χρόνιόν τε γὰρ αὐτῷ τὴν στρατείαν καὶ ἐπίπονον κατὰ ἐθνῶν μαχιμωτάτων γεγονέναι, καὶ πολλὰ τῇ πατρίδι προσλαϐόντα, ἐπὶ τιμὰς καὶ θυσίας ἥξειν καὶ ἀναπαύσεις.

XXIX. (H. Est., p. 446.) ..... Διαλυόμενοι δὲ, ὅμως τοσόνδε μόνον ἐψηφίσαντο, Καίσαρα καὶ Πομπήιον τέλος ἔχοντα στρατιωτῶν ἐς Συρίαν ἑκάτερον πέμψαι φυλακῆς οὕνεκα, διὰ τὴν Κράσσου συμφοράν. Καὶ τεχνάζων ὁ Πομπήιος ἀπῄτει τὸ τέλος, ὃ ἔναγχος ἐπὶ συμφορᾷ στρατηγῶν δύο Καίσαρος, Τιτυρίου τε καὶ Κόττα, Καίσαρι κεχρήκει. Ὁ δ' αὐτὸ, τιμήσας ἕκαστον ἄνδρα δραχμαῖς πεντήκοντα καὶ διακοσίαις, ἀπέπεμπεν ἐς Ῥώμην, καὶ συνέπεμπεν ἄλλο παρ' ἑαυτοῦ. Οὐδενὸς δὲ δεινοῦ περὶ Συρίαν φανέντος, τάδε μὲν ἐχείμαζεν ἐν Καπύῃ.

XXX. Οἱ δ' ἐπ' αὐτὰ πεμφθέντες ὑπὸ τοῦ Πομπηίου πρὸς Καίσαρα, ἄλλα τε πολλὰ δυσχερῆ κατὰ τοῦ Καίσαρος διεθρόουν· καὶ ἰσχυρίζοντο τῷ Πομπηίῳ, τὴν στρα-

1. Plutarque, *César*, XXIX, dit seulement que les Néocomites furent privés du droit de cité. Suéton., *C. J. César*, XXVIII, ajoute que, selon Marcellus, ce droit leur avait été donné au mépris des lois.

comme citoyen romain, fut, par ordre de Marcellus et pour faire injure à Cæsar, battu de verges à l'occasion d'un délit quelconque. — C'est une peine qu'on n'inflige jamais à un citoyen romain.....

XXVIII. ..... (O). Revenu à Rome, il (Pompée) parla dans le même sens[1]; il promettait encore à cette heure de déposer le pouvoir; et, en qualité d'ami et d'allié de Cæsar, Cæsar aussi, disait-il, le déposera bien volontiers : après avoir soutenu une guerre si longue, si laborieuse contre les peuples les plus belliqueux, après avoir fait pour sa patrie de grandes conquêtes, il viendra chercher ici des honneurs, des sacrifices, le repos.....

XXIX. ..... (O). Avant de se séparer, les sénateurs avaient pourtant porté un décret, un seul, celui-ci : — Cæsar et Pompée enverraient chacun une de leurs légions en Syrie, pour la garde de cette province, à cause du désastre de Crassus. Mais Pompée, rusant encore, réclamait la légion que naguère il avait prêtée à Cæsar à l'occasion du récent désastre de ses deux lieutenants Titurius et Cotta[2]. Or, cette légion, Cæsar, après avoir donné à chaque homme une gratification de 250 drachmes, l'envoya à Rome, et avec elle une autre des siennes. Mais comme aucun danger ne se montrait du côté de la Syrie, ces troupes hivernèrent à Capyè (Capoue).

XXX (O). Ceux qui avaient été envoyés par Pompée au sujet de ses légions, répandaient encore beaucoup d'autres méchants bruits contre Cæsar : ils affirmaient

1. Que dans une lettre écrite peu auparavant au Sénat, où il comparait sa conduite et celle de César.

2. Cés., *G. G.*, V, 34-37. — Comp. *infr.*, CL.

τιὰν Καίσαρος τετρυμένην τε πόνῳ καὶ χρόνῳ, καὶ τὰ οἴκοι ποθοῦσαν, μεταθήσεσθαι πρὸς αὐτὸν, ὅτε τὰ Ἄλπεια διέλθοιεν. Καὶ οἱ μὲν οὕτως ἔλεγον, εἴθ' ὑπὸ ἀγνοίας, εἴτε διεφθαρμένοι.....

XXXI. Λόγου δ' ἄφνω ψευδοῦς ἐμπεσόντος, ὅτι τὰς Ἄλπεις ὁ Καῖσαρ ὑπερελθὼν, ἐπὶ τὴν πόλιν ἐλαύνοι · θόρυβός τε πολὺς ἦν καὶ φόβος ἁπάντων.....

XXXII. (H. Est., p. 447.) Ὁ δ' ἄρτι τὸν Ὠκεανὸν ἐκ Βρεττανῶν διεπεπλεύκει, καὶ ἀπὸ Κελτῶν τῶν ἀμφὶ τὸν Ῥῆνον τὰ ὄρη τὰ Ἄλπεια διελθὼν σὺν πεντακισχιλίοις πεζοῖς καὶ ἱππεῦσι τριακοσίοις, κατέβαινεν ἐπὶ Ῥαβέννης ἣ συναφής τε ἦν τῇ Ἰταλίᾳ, καὶ τῆς Καίσαρος ἀρχῆς τελευταία..... Καίσαρι δ' (ἐδόκει) ἔτι πειρᾶσθαι διαλύσεων. Τοὺς οὖν φίλους ἐκέλευεν ὑπὲρ αὐτοῦ συμβῆναι, τὰ μὲν ἄλλα αὐτὸν ἔθνη καὶ στρατόπεδα ἀποθήσεσθαι, μόνα δ' ἕξειν δύο τέλη, καὶ τὴν Ἰλλυρίδα μετὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας, ἕως ὕπατος ἀποδειχθείη [1].....

XXXIV. (H. Est., p. 449.) Ὁ μὲν δὴ πόλεμος ἑκατέρωθεν ἀνέῳκτο, καὶ κεκήρυκτο ἤδη σαφῶς. Ἡ δὲ βουλὴ, νομίζουσα Καίσαρι τὸν στρατὸν ἀπὸ Κελτῶν σὺν χρόνῳ παρέσεσθαι, καὶ οὔποτε αὐτὸν ὁρμήσειν ἐπὶ τηλικοῦτον ἔργον σὺν ὀλίγοις, προσέτασσε Πομπηίῳ..... Ὁ δὲ Καῖσαρ ἐπὶ μὲν τὸν ἑαυτοῦ στρατὸν περιπεπόμφει · χαίρων

1. Cf. Suéton., *C. J. César*, XXX : Cum adversariis autem pepigit, ut, dimissis octo legionibus Transalpina que Gallia, duæ sibi legiones et Cisalpina provincia, vel etiam una legio cum Illyrico concederetur, quoad consul fieret.

à Pompée que les soldats de Cæsar étaient usés par les fatigues et le temps, qu'ils n'aspiraient qu'à revoir leurs foyers, qu'ils se donneraient à lui dès qu'ils auraient passé les Alpes. Ils parlaient ainsi par ignorance ou parce qu'ils étaient corrompus[1].....

XXXI (O). Un faux bruit courut soudain que Cæsar avait passé les Alpes et qu'il marchait sur la ville : il y eut alors un grand tumulte, une alarme universelle.....

XXXII (O). [Cæsar] venait de traverser l'Océan en revenant de la Brettanie, et courant de chez les Celtes des bords du Rhèn aux Alpies, il avait franchi ces montagnes avec cinq mille hommes de pied et trois cents chevaux ; il descendait à Ravenne, place qui confinait à l'Italie et se trouvait à la limite extrême de son gouvernement..... Il jugeait à propos de faire encore des tentatives pour un accommodement. Il engageait ses amis à traiter pour lui aux conditions suivantes : il abandonnerait les autres peuples, les autres armées : il n'aurait que deux légions et l'Illyride avec la Galatie en deçà des Alpes, en attendant qu'il fût nommé consul.....

XXXIV (O). C'était dès lors de part et d'autre guerre ouverte et assez nettement déclarée. Le Sénat, croyant qu'il faudrait du temps à Cæsar pour faire venir son armée de chez les Celtes, et qu'il n'oserait pas lui-même avec si peu d'hommes se jeter dans une telle entreprise, ordonna à Pompée..... Cæsar, de son côté, avait envoyé quérir son armée. Mais préférant toujours la

1. Sur toutes ces intrigues, comp. Plut., *Cæsar*, XXIX, dans notre t. III, p. 254-257 et les notes, *Pomp.*, LVI-LVII, *ibid.*, p. 210-211.

δ' ἀεὶ ταχυεργίας τε ἐκπλήξει καὶ φόβῳ τόλμης μᾶλλον, ἢ παρασκευῆς δυνάμει, μετὰ τῶν πεντακισχιλίων ἔγνω προεπιχειρεῖν τοσῷδε πολέμῳ, καὶ φθάσαι τὰ εὔκαιρα τῆς Ἰταλίας.

XXXV. Τοὺς οὖν λοχαγοὺς αὐτῶν σὺν ὀλίγοις τοῖς μάλιστα εὐτολμοτάτοις, εἰρηνικῶς ἐσταλμένοις, προὔπεμπεν ἐσελθεῖν ἐς Ἀρίμινον, καὶ τὴν πόλιν ἄφνω καταλαβεῖν · ἡ δ' ἐστὶν Ἰταλίας πρώτη μετὰ τὴν Γαλατίαν. Αὐτὸς δὲ περὶ ἑσπέραν, ὡς δὴ τὸ σῶμα ἐνοχλούμενος, ὑπεχώρησε τοῦ συμποσίου, τοὺς φίλους ἀπολιπὼν ἔτι ἑστιᾶσθαι · καὶ ζεύγους ἐπιβὰς, ἤλαυνεν ἐς τὸ Ἀρίμινον, ἑπομένων οἱ τῶν ἱππέων ἐκ διαστήματος. Δρόμῳ δ' ἐλθὼν ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν, ὃς ὁρίζει τὴν Ἰταλίαν, ἔστη τοῦ δρόμου · καὶ ἐς τὸ ῥεῦμα ἀφορῶν, περιεφέρετο τῇ γνώμῃ, λογιζόμενος ἕκαστα τῶν ἐσομένων κακῶν, εἰ τόνδε τὸν ποταμὸν σὺν ὅπλοις περάσειε.....

XLI. (H. Est., p. 453.) ..... Τὰ δὲ κλεῖθρα τῶν δημοσίων ταμιείων ἐξέκοπτε, καὶ τῶν δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι θάνατον ἠπείλει. Τῶν τε ἀψαύστων ἐκίνει χρημάτων [1], ἅ φασιν ἐπὶ Κελτοῖς πάλαι σὺν ἀρᾷ δημοσίᾳ τεθῆναι, μὴ σαλεύειν ἐς μηδὲν, εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι. Ὁ δὲ ἔφη, Κελτοὺς αὐτὸς [2] ἐς τὸ ἀσφαλέστατον ἑλὼν, λελυκέναι τῇ πόλει τὴν ἀράν..... Καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἐπέτρεπε Λικινίῳ Κράσσῳ.....

1. Candide : militibus rapere concessit. Sur quel texte a-t-il traduit? — Plus bas Appien rend sans doute par σαλεύειν le latin *turbare* qui se dit des dépenses irrégulières, comme nous disons *dilapider, dissiper* son bien ou les deniers de l'État.

2. Ed. Κελτοὺς αὐτοὺς, leçon admise par H. Est., justement condamnée par Schweigh.

rapidité d'exécution qui étonne et l'audace qui effraye à la puissance des armements, il se résolut à entreprendre une si grande guerre avec ses cinq mille hommes, et à occuper des points avantageux en Italie.....

XXXV (O). Il envoie donc en avant ses *lochages* (centurions) avec un petit nombre de soldats des plus déterminés, mais en pacifique équipage, pour entrer dans Ariminum et s'emparer soudainement de cette ville. C'est la première que l'on rencontre en Italie, en sortant de la Galatie. Lui-même, vers le soir, comme s'il était incommodé, il quitta la salle où il mangeait avec ses amis, les laissant à table, et étant monté dans une voiture, il poussa vers Ariminum, suivi à distance par ses cavaliers. Arrivé en courant près du Rubicon, le fleuve qui borne l'Italie, il s'arrêta là dans sa course[1], et, les yeux fixés sur ce petit cours d'eau, il avait l'esprit agité à la pensée de tous les malheurs qui arriveraient s'il passait en armes ce ruisseau.....

XLI. ..... Il brisa les portes des trésors publics, et comme un des tribuns du peuple, Métellus, l'en empêchait, il le menaça de la mort[2]. Il puisa dans ces caisses demeurées intactes, dans ces dépôts amassés, dit-on, jadis, au temps des Celtes, avec des imprécations publiques contre quiconque y toucherait, sauf le cas d'une guerre celtique. Il dit à ce sujet qu'en ayant fini une bonne fois avec les Celtes, il avait ainsi aboli pour la République ces imprécations..... Il donna la Galatie d'en deçà les Alpes à Licinius Crassus.....

1. Comp. dans notre t. III, p. 256-259 et 212-213, Plut., *Cæsar*, XXXII, et *Pomp.*, LX.

2. An de R. 704, av. J.-C. 50. — Comp. Plut., *Pomp.*, LXII, *Cæsar*, XXXV. — Tite-Live, XXVII, 10, fait allusion à ce trésor gaulois, sans le nommer. V. ci-après, Dion Cass., XXI.

XLVII. (H. Est., p. 457.) ..... Ὧν ὁ Καῖσαρ πυθόμενος, ἐκ Μασσαλίας [1] ἐς Πλακεντίαν ἠπείγετο συντόμως, καὶ ἐς ἔτι στασιάζοντας ἐπελθὼν, ἔλεγεν ὧδε· Τάχει μὲν ὅσῳ περὶ ἕκαστα χρῶμαι, σύνιστέ μοι. Βραδύνει δ' ὁ πόλεμος οὐ δι' ἡμᾶς· ἀλλὰ διὰ τοὺς πολεμίους ὑποφεύγοντας ἡμᾶς. Ὑμεῖς δ' ἔν τε Γαλατίᾳ πολλὰ τῆς ἐμῆς ἀρχῆς ὀνάμενοι, καὶ ἐς τόνδε τὸν πόλεμον ὅλον, οὐκ ἐς μέρος αὐτοῦ, μοὶ συνομόσαντες, ἐν μέσοις ἔργοις ἡμᾶς ἀπολείπετε.....

XLVIII. ..... Ἡγεμόνας τε ἐς τὰ ἔθνη περιέπεμπεν..... Ἐς δὲ τὴν νεόληπτον Γαλατίαν [2], Δέκμον Βροῦτον.....

XLIX. (H. Est., p. 458.) ..... Ἦν δ' ἐς τότε Καίσαρι μὲν δέκα τέλη πεζῶν, καὶ Κελτῶν ἱππεῖς μύριοι· Πομπηίῳ δὲ..... σύμμαχοι..... ἱππεῖς τέ τινες Κελτῶν, καὶ ἐκ Γαλατίας ἕτεροι τῆς ἑῴας.....

L. (H. Est., p. 459.) « ..... Καὶ ἡμῶν αὐτῶν οἱ πρόγονοι, Κελτῶν ἐπιόντων, ἐξέλιπον τὸ ἄστυ, καὶ αὐτὸ ἀνεσώσατο ἐξ Ἀρδεατῶν Κάμιλλος ὁρμώμενος..... Καὶ τάδε πράττοντι κατὰ τῆς πατρίδος σύνεισίν τινες ἐωνημένοι χρημάτων, ὧν ἐκεῖνος ἀπὸ τῆς ἡμετέρας Γαλατίας πεπόρισται..... »

LXIV. (H. Est., p. 468.) ..... Οἱ δ' ὡς ἐκ λιμοῦ

1. Suét., *C. J. César*, XXXIV : « Et quamquam obsidione Massiliæ, quæ sibi in itinere portas clauserat, summaque frumentariæ rei penuria retardante, brevi tamen omnia subegit. »

2. Sans doute aussi dans la Gaule Narbonnaise, l'ancienne *Provincia romana*. — Cf. plus bas, CXI, où il est dit que César donna à Brutus *la Gaule d'au delà les Alpes*, ce qui comprend tout.

XLVII. ..... (O). Cæsar en est instruit[1]; il accourt de Massalie à Placentia; il se hâte, et comme à son arrivée la sédition durait encore, il parle ainsi [à ses soldats] : « De quelle célérité j'use en tout, vous le savez comme moi. Si la guerre marche lentement, ce n'est pas à nous qu'il faut s'en prendre, mais à l'ennemi qui se dérobe par la fuite. Et c'est vous qui, après avoir en Galatie (Gaule) si bien profité de mon commandement, après m'avoir prêté serment pour toute cette guerre, et non pour une partie seulement, c'est vous qui nous abandonnez au milieu de nos travaux!.... »

XLVIII. ..... Il envoya des généraux chez les divers peuples....; dans la Galatie (Gaule) récemment conquise, Decmus Brutus.....

XLIX. ..... (O). Cæsar avait alors[2] dix légions d'infanterie et dix mille cavaliers celtes.... Pompée, entre autres auxiliaires, quelques cavaliers celtes et d'autres de la Galatie (Gaule) d'Orient[3].....

L. ..... (O). « Et nos ancêtres[4] eux-mêmes, lors de l'invasion des Celtes, ont quitté leur ville, et celui qui la sauva, ce fut Camille accouru de chez les Ardéates..... Et quand il (Cæsar) agit ainsi contre sa patrie, il a à sa suite quelques mercenaires payés avec l'argent qu'il a tiré de cette Galatie (Gaule) qui est à nous..... »

LXIV. ..... (O). Ces affamés (les soldats de Cæsar

1. Des mouvements séditieux de son armée de Plaisance, qui trouvait que la guerre traînait en longueur. — 2. A son entrée en campagne contre Pompée, an de Rome 705, av. J.-C. 49.

3. Ce passage indique nettement que Pompée, outre les Gaulois d'Asie (Galates), avait des Celtes dans son armée, des Allobroges sans doute (César, III, LIX et ss.), et Lucain ne s'est pas mépris en disant (VII, 231) :

Inde, truces *Galli*, solitum prodistis in hostem.

Comp. César, *G. Civ.*, III, IV.

4. Discours de Pompée à son armée.

πάντων ἐνεπίπλαντο ἀθρόως, καὶ ἐμεθύσκοντο ἀπρεπῶς· καὶ μάλιστα αὐτῶν οἱ Γερμανοὶ γελοιότατοι κατὰ τὴν μέθην ἦσαν.....

LXV. ..... Ἀφρανίῳ μὲν ἐδόκει..... Πομπήιον..... κρατυνάμενον δ' αὐτήν τε καὶ Γαλατίαν καὶ Ἰβηρίαν, ἐξ οἰκείας καὶ ἡγεμονίδος γῆς αὖθις ἐπιχειρεῖν Καίσαρι[1].....

LXX. (H. Est., p. 471.) ..... Τὸ δὲ συμμαχικὸν ἦν, Καίσαρι μὲν, ἱππεῖς τε Κελτοὶ[2] καὶ Κελτῶν τῶν ὑπὲρ Ἄλπεις ἀριθμὸς ἄλλος.....

LXXI. (H. Est., p. 472.) ..... Παρῆσαν δὲ καὶ βασιλεῖς καὶ δυνάσται στρατὸν ἄγοντες· Δηιόταρος μὲν, τετράρχης Γαλατῶν τῶν ἑῴων[3].....

LXXIII. (H. Est., p. 473.) « ..... Οἵδε εἰσὶν, ὦ ἄνδρες, ἐφ' οὓς ἐξ Ἡρακλείων στηλῶν ἤλθομεν· οἵδε οἱ περιφυγόντες ἡμᾶς ἐξ Ἰταλίας· οἳ τοὺς δέκα ἔτεσιν ἀθλοῦντας ἡμᾶς, καὶ πολέμους τοσούσδε καὶ νίκας δυσαριθμήτους ἀνύσαντας, καὶ Ἰβήρων καὶ Κελτῶν καὶ Βρεττανῶν ἔθνη τετρακόσια περιποιήσαντας τῇ πατρίδι, διέλυον ἀγεράστους ἄνευ θριάμβου τε καὶ δωρεᾶς..... »

LXXXII. (H. Est., p. 479.) Ἀπέθανον..... ἐκ δὲ τῶν Πομπηίου βουλευταὶ μὲν δέκα, ὧν ἦν καὶ Λεύκιος Δομίτιος, ὁ αὐτῷ Καίσαρι πεμφθεὶς ἐπὶ τὴν Γαλατίαν διάδοχος.....

1. Sur cet avis d'Afranius v. Plut., *Pompée*, LXVI, notre tome III, p. 212-213.

2. Ce passage paraît mutilé : il semble y manquer un nom de nombre (v. *supr.* XLIX) et peut-être une indication géographique telle que τῶν ἐντὸς Ἄλπεων. Cette lacune se trouve dans tous les mss.

3. Sur cette expression, comp. *supr.* XLIX.

au pillage de Gomphes) se gorgèrent de toutes sortes de choses à la fois, et ils s'enivrèrent vilainement ; les Germains surtout étaient ridicules dans leur ivresse.....

LXV. ..... (O). Afranius était d'avis..... que Pompée..... s'en rendît maître (de l'Italie), ainsi que de la Galatie (Gaule) et de l'Ibèrie, et que, partant des foyers, du siège même de l'empire, il reprît la campagne contre Cæsar.....

LXX. ..... Pour auxiliaires (à la bataille de Pharsale), Cæsar avait des cavaliers celtes (Cisalpins) et un autre corps de Celtes d'au delà les Alpes.....

LXXI. ..... Du côté de Pompée se trouvaient en outre des rois et des *dynastes* conduisant des troupes, notamment Dèjotaros, le tétrarque des Galates orientaux.....

LXXIII. ..... (O). « Les voilà, mes braves[1], ceux contre qui nous sommes venus des Colonnes *hèraclées*, ceux qui de l'Italie ont fui devant nous, ceux qui, après dix ans de combats, quand nous avons terminé de si grandes guerres, remporté des victoires innombrables, donné à notre patrie quatre cents peuples, Ibères, Celtes, Brettans, nous licenciaient sans récompense, sans triomphe, sans gratifications.....

LXXXII (O). Il mourut..... du côté de Pompée dix sénateurs, entre autres Leucius Domitius qui avait été en Galatie (Gaule) comme successeur de Cæsar.....

1. Discours de César à ses soldats. — Selon Labiènus, l'ancien lieutenant de César, ce n'était plus la même armée, l'armée des Gaules. — César, *G. Civ.*, III, LXXXVII : « Noli existimare, Pompei, hunc esse exercitum qui Galliam Germaniamque devicerit. Omnibus interfui præliis..... Hæ copiæ quas videtis ex dilectibus horum annorum in Citeriore Gallia sunt refectæ..... »

CI. (H. Est., p. 491.) Αὐτὸς δ' ἐπανελθὼν ἐς Ῥώμην ἐθριάμβευε τέσσαρας ὁμοῦ θριάμβους· ἐπί τε Γαλάταις, ὧν δὴ πολλὰ καὶ μέγιστα ἔθνη προσέλαβε, καὶ ἀφιστάμενα ἄλλα ἐκρατύνατο..... Παρήγαγε δέ τινα καὶ τῆς ἀνὰ τὸν Νεῖλον ναυμαχίας θρίαμβον Αἰγύπτιον, μεταξὺ τοῦ Γαλατῶν καὶ Φαρνάκους.....

CXI. (H. Est., p. 497.) ..... Καὶ ἐπὶ τὸν ἐν Λιβύῃ πόλεμον ἀπιὼν, στρατεύματα ἔδωκε, καὶ τὴν Κελτικὴν ἐπέτρεψε, τὴν μὲν ὑπὲρ Ἄλπεων Δέκμῳ[1], τὴν δ' ἐντὸς Ἄλπεων Βρούτῳ[2].

CXXIV. (H. Est., p. 506.) Ἀντώνιος δὲ καὶ Λέπιδος ἐβούλοντο μὲν ἀμύνειν Καίσαρι..... ἐδεδοίκεσαν..... Δέκμον μάλιστα, τῆς ὁμόρου Κελτικῆς ᾑρημένον ὑπὸ Καίσαρος ἄρχειν, στρατὸν πολὺν ἐχούσης ;..... »

CXXXIV. (H. Est., p. 512.) « ..... νομίζετε τοὺς ἐστρατευμένους αὐτῷ καὶ τὰ Κελτῶν καὶ Βρεττανῶν νομιεῖν, ἃ εἰλήφασιν, ἕξειν βέβαια, τοῦ δόντος ὑβριζομένου ; ..... Πόσον δὲ ὑμῖν ἔσεσθαι φθόνον παρά τε ἀνδρῶν καὶ θεῶν, ἐνυβρίζουσιν ἐς τὸν ὑμῖν τὴν ἡγεμονίαν μέχρι Ὠκεανοῦ ἐπὶ τὴν ἄγνωστον προαγαγόντα.....

CXXXVII. (H. Est., p. 514.) ..... « Ἐπειδὴ Γάιος Καῖσαρ ἐκ Γαλατίας ἐπὶ τὴν πατρίδα ἤλασε σὺν ὅπλοις πολεμίοις..... »

1. Cf. *supr.* ch. XLVIII, et *infr.* III, XCVIII. Tite-Live avait fait l'histoire de ce gouvernement de D. Brutus dans son CXIVe livre. V. l'*Épitomé*.

2. Conf. Plut., *Brut.*, VI, et Compar. de Dion et de Brut. V, dans notre t. III, p. 272-275.

CI. De retour à Rome[1], il (Cæsar) triompha en quatre triomphes à la fois, premièrement des Galates (Gaulois), chez qui il avait soumis plusieurs peuples très grands et en avait abattu d'autres qui s'étaient révoltés..... Il eut aussi pour sa bataille navale sur le Nil une sorte de triomphe ægyptien, entre celui des Galates (Gaulois) et celui de Pharnace.....

CXI. ..... En partant pour la guerre de Libye[2], il avait donné des commandements militaires; il avait confié la Celtique, celle d'au delà des Alpes, à Decmus (Brutus), et celle d'en deçà à (Marcus) Brutus.

CXXIV (O). Antonius et Lépidus qui avaient résolu de venger Cæsar..... redoutaient..... principalement Decmus (Brutus), choisi par Cæsar pour commander dans la Celtique limitrophe [de l'Italie], où se trouvait une nombreuse armée.....

CXXXIV. ..... (O). « Pensez-vous[3] que ceux qui ont fait la guerre avec lui (Cæsar) se croient bien sûrs de la possession des terres qu'ils ont reçues chez les Celtes et chez les Brettans, quand celui qui les leur a données est ainsi outragé?..... » — « Quelle haine n'allez-vous pas encourir de la part des dieux et des hommes par vos outrages envers celui qui a étendu les limites de votre empire jusqu'à l'Océan, jusqu'à des contrées inconnues?.... »

CXXXVII. « ..... (O). Quand Gaius Cæsar[4] sortit de la Galatie (Gaule) pour marcher contre sa patrie, les armes à la main, comme un ennemi..... »

1. An de R. 707, av. J.-C. 47.
2. Même date.
3. Disc. d'Antoine dans le Sénat après la mort de César.
4. Disc. de Brutus au peuple.

CXL. (H. Est., p. 516.) ..... « Ὑμᾶς δ' ὁ δῆμος ἔδωκεν ἐπὶ Κελτοὺς καὶ Βρεττανοὺς τῷ Καίσαρι · καὶ ἀριστεύοντας ἔδει τιμῶν καὶ ἀριστείων τυχεῖν..... Οὐδεὶς φθόνος, ἢ χρόνος, ἢ ἀνθρωπίνη λήθη τὰ ἐπὶ Κελτοῖς καὶ Βρεττανοῖς ὑμῶν ἔργα σβέσει · ὑπὲρ τούτων ὑμῖν ἐστι τὰ ἀριστεῖα..... »

CXLI. « Οἱ δὲ ὑμῖν τὰ τῶν ὑμετέρων ὁμοεθνῶν διένεμον, τῶν ἐπὶ Κελτοὺς ὑμᾶς αὐτῷ Καίσαρι στρατευσάντων[1], καὶ προπεμψάντων, καὶ εὐξαμένων πολλὰ κατὰ τῶν ὑμετέρων νικητηρίων..... »

CL. (H. Est., p. 522.) ..... Καὶ τὸν Ἑσπέριον ὠκεανὸν ἐπὶ Βρεττανοὺς διέπλευσεν (ὁ Καῖσαρ), οὔπω γενόμενον ἐν πείρᾳ, κρημνοῖς τε τῶν Βρεττανῶν τοὺς κυβερνήτας ἐποκέλλοντας ἐκέλευε τὰς ναῦς περιαγνῦναι..... (H. Est., p. 523.) Ἔς τε πολεμίους προεπήδησε μόνος ἐκ πάντων δεδιότων πολλάκις · καὶ τριακοντάκις αὐτὸς ἐν Κελτοῖς μόνοις παρετάξατο, μέχρι τετρακόσια αὐτῶν ἐχειρώσατο ἔθνη[2], οὕτω δή τι Ῥωμαίοις ἐπίφοβα, ὡς νόμῳ τῷ περὶ ἀστρατείας ἱερέων καὶ γερόντων ἐγγραφῆναι · Πλὴν εἰ μὴ Κελτικὸς πόλεμος ἐπίοι, τότε δὲ καὶ γέροντας καὶ ἱερέας στρατεύεσθαι..... Οὐ μὴν ἀησσήτου, καθάπερ Ἀλεξάνδρῳ, τοῦ στρατοῦ γενομένου · ἐπεὶ καὶ ὑπὸ Κελτῶν ἡσσῶντο λαμπρῶς, ὅτε ἡ μεγάλη σφᾶς συμφορὰ κατέλαβε, Κόττα καὶ Τιτυρίου στρατηγούντων.....

1. H. Est. croyait ce passage altéré. Schweigh. coll. *supr.* CXL : τὰ ἴσα τὴν (i. e. πατρίδα) ἐκπέμπουσαν [εἰς κληρουχίας] ἀντιγεραίρειν et la suite, l'explique clairement ; τῶν ὑμᾶς στρατευσάντων ne lui semble être autre chose que ὑμᾶς ἐκπεμψάντων ἐς στρατείαν.

2. V. plus haut, ch. LXXIII, le discours de César à ses soldats. — César ne nomme guère qu'une centaine de peuples gaulois. Josèphe, *G. juiv.*, II, XVI, 4, dans le fameux passage que nous avons donné, t. III, p. 23, donne trois cent cinq peuples (ou peuplades) à la Gaule. — V. E. Desjardins, t. II.

CXL. « ..... (O). Le peuple vous[1] avait donnés à Cæsar pour marcher contre les Celtes et les Brettans, et après vous être conduits en braves, vous deviez obtenir des honneurs et les prix de la bravoure..... Ni l'envie, ni le temps, ni l'oubli des hommes n'éteindra ce que vous avez fait chez les Celtes et les Brettans, et vous avez pour ces hauts faits les prix de la bravoure..... »

CXLI (O). « Et ces gens-là vous ont distribué les terres de vos concitoyens, de ceux qui avaient fait de vous les soldats de Cæsar contre les Celtes, et qui, vous faisant cortège au départ, avaient formé mille et mille vœux pour vos victoires..... »

CL. ..... Et lui (Cæsar), marchant contre les Brettans, avait traversé l'Océan occidental, trajet que nul encore n'avait tenté, et il avait ordonné à ses pilotes de s'échouer contre les écueils des Brettans et d'y briser leurs navires..... Maintes fois du milieu de ses soldats tous effrayés, il s'élança seul contre les ennemis[2]; il livra aux Celtes seuls trente batailles rangées avant d'avoir soumis leurs quatre cents peuples, peuples si redoutables aux Romains, que dans la loi sur l'exemption du service militaire accordée aux prêtres et aux vieillards, il était écrit : « Sauf le cas d'invasion celtique. » En pareil cas, vieillards et prêtres devaient le service militaire[3]..... Il n'eut point comme Alexandre une armée qui ne connut pas la défaite : les Celtes lui infligèrent une défaite éclatante lors du désastre dont elle fut frappée sous le commandement de Titurius et de Cotta[4].....

1. Le même aux vétérans qui étaient dans son auditoire.
2. V. Appien, même livre, CIV.
3. V. dans notre t. III, p. 98-99, Plut., *Camill.*, XLI, et p. 110-111, *Marcell.*, III. — 4. An de R. 699, av. J.-C. 55.

ΕΜΦΥΛΙΩΝ

ΒΙΒΛΟΥ Γ'.

II. (H. Est., p. 527.) ..... Ὅσοι παρ' αὐτοῦ Καίσαρος εἰλήφεσαν ἡγεμονίας ἐθνῶν, ἀπεληλύθεσαν ἐπὶ τὰς ἡγεμονίας, Βροῦτος μὲν ὁ Δέκμος ἐς τὴν ὅμορον τῆς Ἰταλίας Κελτικήν.....

XVI. (H. Est., p. 526.) « ..... Δέκμον τε τὴν ἐγγὺς Κελτικὴν ὑπεροράτε ἔχοντα, καὶ τόνδε τοῖς ἄλλοις ὁμοίως αὐθέντην τοὐμοῦ πατρὸς γενόμενον..... »

XXVII. (H. Est., p. 543.) Ὁ δ' Ἀντώνιος ἐς τὴν Ἰταλίαν τὸν στρατὸν ἐκ τῆς Μακεδονίας διενεγκεῖν ἐπενόει. Καὶ προφάσεως ἄλλης ἐς τοῦτο ἀπορῶν, ἠξίου τὴν βουλὴν ἀντὶ τῆς Μακεδονίας ἐναλλάξαι οἱ τὴν ἐντὸς Ἄλπεων Κελτικήν, ἧς ἡγεῖτο Δέκμος Βροῦτος Ἀλβῖνος· εἰδὼς μὲν ὅτι καὶ ὁ Καῖσαρ ἐκ τῆσδε τῆς Κελτικῆς ὁρμώμενος ἐκράτησε Πομπηίου· ὡς δὲ τὸν στρατὸν δόξων οὐκ ἐς τὴν Ἰταλίαν, ἀλλ' ἐς τὴν Κελτικὴν μετακαλεῖν. Ἡ δὲ βουλὴ τήνδε τὴν Κελτικὴν ἀκρόπολιν ἐπὶ σφίσιν, ἡγουμένη[1] ἐδυσχέραινέ τε, καὶ τῆς ἐνέδρας τότε πρῶτον ᾔσθοντο καὶ τὴν Μακεδονίαν δόντες αὐτῷ μετενόουν. Ἰδίᾳ τε αὐτῶν οἱ δυνατοὶ ἐπέστελλον τῷ Δέκμῳ τῆς ἀρχῆς ἐγκρατῶς ἔχεσθαι, καὶ στρατὸν ἄλλον καὶ χρήματα ἀγείρειν, εἰ πρὸς Ἀντωνίου βιάζοιτο. Οὕτως ἐδεδοίκεσάν

1. Comp. Cicér., *Philipp.*, III, 5. Nec vero de virtute, constantia et gravitate provinciæ Galliæ taceri potest. Est enim ille flos Italiæ, illud firmamentum imperii populi rom., illud ornamentum dignitatis, etc. *Ibid.*, 4 : Pollicetur enim (Brutus) se provinciam Galliam retenturum in senatus populique rom. potestate.

GUERRES CIVILES.

III.

II. ..... (O). Ceux [des conjurés] qui avaient reçu de Cæsar des gouvernements s'en étaient allés dans ces gouvernements, Brutus Decmus, dans la Celtique, limitrophe de l'Italie.....

XVI. « ..... (O). Vous voyez[1], et vous voyez sans vous en soucier, Decmus tout près d'ici, dans la Celtique, et pourtant ce Decmus a été, tout comme les autres, l'assassin de mon père..... »

XXVII. (O). Antonius songeait à transporter son armée de la Macédonie en Italie, et, faute d'autre prétexte, il demanda au Sénat de lui donner en échange de la Macédonie la Celtique d'en deçà les Alpes où commandait Decmus Brutus Albinus. Il savait que Cæsar était parti de cette Celtique pour vaincre Pompée; et puis, il paraîtrait ainsi appeler son armée, non dans l'Italie, mais dans la Celtique. Le Sénat, qui regardait cette Celtique comme sa citadelle, fut mécontent, et commençant alors d'apercevoir les embûches [d'Antonius], il regretta de lui avoir donné la Macédonie. Ceux de ses membres qui avaient le plus d'autorité mandèrent même de leur chef à Decmus de tenir ferme dans son gouvernement, de ramasser d'autres troupes et de l'argent en cas d'attaque de la part d'Antonius : tant ils redoutaient Antonius! tant ils

1. Disc. d'Octavien à Antoine.

τε καὶ ἐν ὀργῇ τὸν Ἀντώνιον εἶχον. Ὁ δὲ ἀντὶ μὲν τῆς βουλῆς ἐπενόει τὸν δῆμον αἰτῆσαι νόμῳ τὴν Κελτικὴν, ᾧ τρόπῳ καὶ ὁ Καῖσαρ αὐτὴν πρότερον εἰλήφει[1].....

XXX. (H. Est., p. 545.) ..... Ὅ τε νόμος ὁ περὶ τῆς Κελτικῆς προὐγράφετο αὐτίκα, ὀρρωδούσης πάνυ τῆς βουλῆς..... Ἦσαν δ' οἳ καὶ τὸ ἔθνος ὅλως ἐλευθεροῦν ἡγεμονίας ἠξίουν · οὕτως ἐδεδοίκεσαν ἀγχοῦ τὴν Κελτικὴν οὖσαν. Ὁ δὲ Ἀντώνιος αὐτοῖς ἀντενεκάλει, εἰ Δέκμῳ μὲν αὐτὴν πιστεύουσιν, ὅτι Καίσαρα ἀπέκτεινεν, αὐτῷ δ' ἀπιστοῦσιν, ὅτι οὐκ ἀπέκτεινε τὸν καταστρεψάμενον αὐτὴν καὶ κλίναντα ἐς γόνυ..... Καὶ ὁ δημότης λεὼς, ἀχθόμενος τῷ Ἀντωνίῳ, συνέπρασσεν ὅμως, διὰ τὸν Καίσαρα, ἐφεστῶτα τοῖς περισχοινίσμασι καὶ δεόμενον. Ἐδεῖτο δὲ μάλιστα μὲν, ἵνα μὴ Δέκμος ἄρχοι χώρας τε ἐπικαίρου καὶ στρατιᾶς, ἀνδροφόνος ὢν τοῦ πατρός.....

XXXVII. (H. Est., p. 550.) ..... « Ταῦτα δ' ἐργασαμένῳ μοι ἕτερος τῶν σφαγέων ἔλειπεν[2] ἐν πλευραῖς, Βροῦτος ὁ Δέκμος, ἡγούμενος καὶ ὅδε χώρας ἐπικαίρου καὶ

1. Cicéron (*Philip.*, III, 1) s'est fait l'écho de ces plaintes du Sénat contre l'ambition d'Antoine : ..... Antonius qui in provinciam D. Bruti, summi et singularis viri, cum exercitu impetum facere conatur, ex qua se instructum et paratum ad Urbem venturum esse minitatur.

2. Sens neut., bien rare ; il faudrait peut-être lire ἐλείπετο, conj. de H. Est., adoptée par Musgrave. Candide semble avoir eu un texte différent ; il traduit : *in lateribus adhuc HÆREBAT*. Appien n'avait-il pas écrit EMEINEN ou EMENEN?

étaient en colère contre lui! Mais lui, à défaut du Sénat, il songeait à demander au peuple une loi qui lui donnât la Celtique, de la même façon que Cæsar l'avait précédemment obtenue.....

XXX. ..... (O). La loi relative à la Celtique fut publiée aussitôt (après la réconciliation d'Antonius et d'Octavius), au grand effroi du Sénat[1]..... Il y avait même [des sénateurs] qui étaient d'avis d'affranchir ce peuple de tout gouvernement de province : tant on redoutait ce voisinage de la Celtique[2] ! Antonius récriminait à son tour contre eux : — Confiait-on cette province à Decmus parce qu'il avait tué Cæsar, et se défiait-on de lui, [Antonius], parce qu'il n'avait pas tué celui qui l'avait subjuguée, qui lui avait fait plier le genou?..... La plèbe, bien qu'irritée contre Antonius, le servit néanmoins à cause de Cæsar (Octavius) qui se tenait près des cordes de l'enceinte, et sollicitait en sa faveur : il sollicitait surtout pour que Decmus ne commandât pas avec une armée dans une contrée si avantageusement placée, lui qui avait été un des meurtriers de son père.....

XXXVII. ..... (O). « Ces mesures prises, il me restait encore sur les flancs[3] un autre des meurtriers de Cæsar, Brutus Decmus, et il avait le commandement d'un pays bien placé, et d'une armée nombreuse.

1. Au chap. suivant, Appien dit encore, en parlant du Sénat, ἀχθομένης τῷ περὶ τῆς Κελτικῆς νόμῳ.

2. D. Brutus s'engageait publiquement à maintenir cette province sous l'obéissance du Sénat et du peuple romain. — Cicér., *Philip.*, III, 4, *Lett. famil.*, XI, 6.

3. Disc. d'Antoine aux tribuns de sa garde, ταξίαρχοι.

στρατοῦ πολλοῦ. Ὃν ἐγώ, καὶ θρασύτερον εἰδώς, τὴν Κελτικὴν ἀφῃρούμην..... »

XXXVIII. (H. Est., p. 551.) ..... « Ὁρᾶτε γὰρ ὅση μὲν αὐτοῖς ἐστι μεταμέλεια τῶν ἐψηφισμένων, ὅσος δὲ ἀγὼν ἀφελέσθαι με τὴν Κελτικὴν ἤδη δεδομένην. Ἴστε ἃ γράφουσι Δέκμῳ, καὶ ὅσα τοὺς ὑπάτους μετ' ἐμὲ [1] πείθουσι περὶ τῆς Κελτικῆς μεταψηφίσασθαι [2]..... »

XLIII. (H. Est., p. 554.) ..... Τὸν δὲ στρατὸν ἄξειν [3] ἐπὶ τὴν ἐψηφισμένην οἱ χώραν εὐδαίμονα Κελτικήν, καὶ τοῖς παροῦσιν ἑκάστῳ δοθήσεσθαι δραχμὰς ἑκατόν. Οἱ δὲ ἐγέλασαν τῆς μικρολογίας.....

XLV. (H. Est., p. 556.) ..... Καὶ γὰρ ἤδη σαφὴς ἦν ὁ πόλεμος, Δέκμου τὴν Κελτικὴν οὐ μεθιέντος.

XLVI. ..... Ὁ μὲν δὴ λαμπρῶς οὕτως ἐς τὸ Ἀρίμινον προεπέμπετο, ὅθεν ἐστὶν ἡ τῆς Κελτικῆς ἀρχή..... Λέπιδός τε ἔχων ἐν Ἰβηρίᾳ τέσσαρα τέλη, καὶ Ἀσίνιος Πολλίων δύο, καὶ Πλάγκος ἐν τῇ ἑτέρᾳ Κελτικῇ τρία, ἐδόκουν αἱρήσεσθαι τὰ Ἀντωνίου.

XLIX. (H. Est., p. 550.) Ἐν δὲ τῇ Κελτικῇ τὸν Δέκμον ὁ Ἀντώνιος ἐκέλευσεν ἐς Μακεδονίαν μετιέναι, πειθόμενόν τε τῷ δήμῳ, καὶ φειδόμενον ἑαυτοῦ.....

L. ..... Κικέρων μὲν δὴ καὶ οἱ Κικέρωνος φίλοι πολέμιον αὐτὸν ἠξίουν ἤδη ψηφίσασθαι, τὴν Κελτικὴν, ἀκού-

1. Schweigh. remarque que plus haut, XXXVII, on lit mieux τοὺς μετ' ἐμὲ ὑπάτους.

2. Les anc. édit. μεταψηφίσεσθαι. H. Est. proposait μεταψηφίζεσθαι; la correction μεταψηφίσασθαι est excellente.

3. Anc. leçon : τὸν δὲ στρατὸν ἄξιον ἐπὶ τὴν ἐπιψηφισμένην..... corrigée par Musgrave qui s'est rencontré avec le Monac. gr. 374, l'August. de Schweighæuser.

Sachant qu'il était plus hardi [que les autres], je lui enlevai la Celtique..... »

XXXVIII. ..... (O). « Vous voyez quel regret on a d'avoir porté ces décrets, et quel mal on se donne pour m'enlever la Celtique qui déjà m'a été attribuée. Vous savez ce qu'on écrit à Decmus et tout ce qu'on dit aux consuls [qui viennent] après moi, pour leur persuader de rappeler le décret relatif à la Celtique..... »

XLIII. ..... (O). Il emmènerait[1] son armée dans le pays qu'un décret lui avait donné, dans cette heureuse Celtique, et chacun des soldats présents recevrait cent drachmes. — Et les soldats riaient de cette lésinerie.....

XLV. ..... (O). Dès lors la guerre était certaine, Decmus ne voulant pas lâcher la Celtique.....

XLVI. ..... (O). C'est en ce brillant équipage qu'il (Antonius) marcha vers Ariminum où commence la Celtique..... Lépidus qui avait en Ibèrie quatre légions, Asinius Pollion et Plancus qui en avaient, le premier deux, et le second trois dans l'autre Celtique[2], paraissaient devoir prendre parti pour Antonius.

XLIX (O). Dans la Celtique, Antonius avait enjoint à Decmus de passer en Macédonie pour obéir au peuple et se ménager lui-même.....

L. ..... (O). Cicéron et les amis de Cicéron[3] étaient d'avis de le déclarer dès lors ennemi public, pour s'être emparé, malgré le Sénat et par la force des

1. Disc. d'Antoine à ses légions réunies à Brindes.

2. La Transalpine.

3. V. *Philipp.*, V, particulièrement II, IX, X : ..... Recedat a Mutina ; desinat oppugnare Brutum ; decedat ex Gallia : non est verbis rogandus, cogendus est armis.....

σης τῆς βουλῆς, ἐς ἐπιτείχισμα τῆς πατρίδος βιαζόμενον ὅπλοις, καὶ τὸν ἐπὶ Θρᾷκας αὐτῷ δεδομένον στρατὸν εἰς τὴν Ἰταλίαν διαγαγόντα.....

LI. (H. Est., p. 559.) ..... Οὐ γὰρ ἠγνόουν ὅτι τὴν Κελτικὴν ὁ δῆμος αὐτῷ δεδώκει..... Ἐψηφίσαντο ὅμως, Δέκμον τε ἐπαινέσαι[1], οὐκ ἐκστάντα Ἀντωνίῳ τῆς Κελτικῆς.....

LII. (H. Est., p. 560.) ..... « Ἀντώνιος Μακεδονίας ἄρχειν παρ' ἡμῶν ἐπιτυχών, ἐπὶ τὴν Κελτικὴν ὥρμησε χωρὶς ἡμῶν · τὸν στρατὸν ἐπὶ Θρᾷκας λαβών, ἀντὶ Θρᾳκῶν ἐπήγαγεν ἡμῖν ἐς τὴν Ἰταλίαν..... (H. Est., p. 561.) Καίσαρος δὲ αὐτὸν τοῦ νέου σὺν ἑτέρῳ στρατῷ φθάσαντος, ἔδεισε, καὶ ἐς τὴν Κελτικὴν ἐτράπετο, ὡς εὔκαιρον ἐφ' ἡμῖν ὁρμητήριον, ὅτι καὶ ὁ Καῖσαρ ἐκεῖθεν ὁρμώμενος ἐδυνάστευσεν ἡμῶν. »

LV. (H. Est., p. 562.) « Τὴν δὲ Κελτικὴν ἡγεμονίαν οὐκ ἐψηφισάμεθα μὲν ἡμεῖς Ἀντωνίῳ, ἔδωκε δὲ ὁ δῆμος νόμῳ, παρόντος αὐτοῦ Κικέρωνος, ᾧ τρόπῳ καὶ ἕτερα πολλάκις ἔδωκε, καὶ τήνδε τὴν ἡγεμονίαν αὐτὴν Καίσαρι πάλαι. Μέρος δ' ἐστὶ τοῦ νόμου, τὸν Ἀντώνιον, τὴν δεδομένην οἱ μετιόντα, Δέκμῳ μὴ παραχωροῦντι πολεμεῖν, καὶ τὸν στρατὸν ἀντὶ Θρᾳκῶν οὐδὲν ἔτι κινουμένων ἐς τὴν Κελτικὴν ἐπὶ τὸν ἀντιλέγοντα μετάγειν..... »

1. Sur la proposition de Cicéron : « Quodque edictum D. Bruti, imperatoris, consulis designati, optime de republica meriti, propositum sit, senatum existimare, D. Brutum, imperatorem, consulem designatum, optime de republica mereri, quum senatus auctoritatem, populique romani libertatem imperiumque defendat. Quodque provinciam Galliam citeriorem..... exercitumque in senatus potestate retineat, id eum..... recte atque ordine, exque republica fecisse et facere, etc. » *Philipp.*, III, xv.

armes, de la Celtique, afin de s'en faire un rempart contre sa patrie, et pour avoir amené en Italie l'armée qui lui avait été donnée pour agir contre les Thraces.....

LI. ..... (O). Il (le Sénat) n'ignorait pas que le peuple lui [1] avait donné la Celtique.....; il vota cependant des éloges à Decmus pour n'avoir pas laissé la Celtique à Antonius.....

LII. ..... (O). « Antonius [2], après avoir obtenu de nous le commandement en Macédonie, s'est jeté sur la Celtique, sans notre aveu, et l'armée qu'il avait reçue [pour agir] contre les Thraces, au lieu de la mener contre les Thraces, il l'a menée contre nous en Italie..... Mais Cæsar le jeune l'ayant devancé avec une autre armée, il eut peur, et se tourna vers la Celtique, comme vers un poste commode pour se jeter sur nous, parce que Cæsar, partant de là, s'était jeté sur nous et s'était fait notre maître. »

LV (O). « A la vérité, ce n'est point nous [3] qui avons par un décret attribué à Antonius le gouvernement de la Celtique. C'est le peuple qui le lui a donné par une loi, en présence de Cicéron, et de la même façon qu'il en a donné à bien d'autres, notamment celui-là même à Cæsar autrefois. Or, dans une partie de cette loi il est dit que si, Antonius passant dans la province à lui assignée, Decmus ne lui cède pas la place, il devra faire la guerre [à Decmus] et, si les Thraces ne bougent point encore, mener son armée dans la Celtique, contre son adversaire..... »

1. A Antoine.
2. Disc. de Cicéron au Sénat.
3. Disc. de Pison en réponse à celui de Cicéron.

LIX. (H. Est., p. 565.) ..... « Πῶς οὖν ἔσται ταῦτα; Ἐὰν Ἀντώνιον μὲν ἐῶμεν ἐς πρόφασιν ἢ χάριν τοῦ δήμου τὴν Κελτικὴν ἔχειν, Δέκμον δὲ μετὰ τριῶν ὧν ἔχει τελῶν ἐνθάδε καλῶμεν, καὶ ἀφικόμενον ἐκπέμπωμεν ἐς Μακεδονίαν, τὰ τέλη κατασχόντες[1]..... »

LX. ..... « Φείδεσθαι δὲ καὶ τοῦ δήμου, πρὸ βραχέος τοῖς φονεῦσι τοῖς Καίσαρος ἐπιδραμόντος, μὴ ἐς ὕβριν αὐτοῦ δοκῶμεν τοῖς μὲν ἡγεμονίας ἐθνῶν διδόναι, Δέκμον δὲ ἐπαινεῖν, ὅτι τοῦ δήμου νόμον ἀκυροῖ, καὶ Ἀντώνιον πολέμιον κρίνειν, ὅτι τὴν Κελτικὴν ἔλαβε παρὰ τοῦ δήμου..... »

LXI. (H. Est., p. 566.) Οὐ μὴν ἐκράτησε, τῆς Κελτικῆς αὐτὸν ἄρχειν..... Εψηφίσαντο δ' Ἀντωνίῳ προαγορεῦσαι Μακεδονίαν ἀντὶ τῆς Κελτικῆς ἔχειν · τὰς δὲ ἄλλας ἐντολάς, εἴτε λαθόντες, εἴτ' ἐξεπίτηδες, Κικέρωνα συγγράψαι τε καὶ δοῦναι τοῖς πρεσβεύουσι προσέταξαν. Ὁ δέ, τὴν γνώμην παραφέρων, συνέγραφεν ὧδε · Μουτίνης Ἀντώνιον εὐθὺς ἀπανίστασθαι, καὶ Δέκμῳ τὴν Κελτικὴν μεθιέναι · ἐντὸς δὲ Ῥουβίκωνος ποταμοῦ, τοῦ τὴν Ἰταλίαν ὁρίζοντος ἀπὸ τῆς Κελτικῆς, ἡμέρᾳ ῥητῇ γενόμενον[2], ἐπιτρέψαι τὰ καθ' ἑαυτὸν ἅπαντα τῇ βουλῇ.....

LXII. ..... Καὶ ὁ Ἀντώνιος σὺν ὀργῇ πολλὰ ἔς τε τὴν βουλὴν καὶ τὸν Κικέρωνα ἀπερρίπτει · Θαυμάζων ὅτι..... τῷ μὲν παρ' οὐδενὸς μετὰ Καίσαρα λαβόντι τὴν

1. V. sur le rôle de Décimus Brutus sa correspondance avec Cicéron, *Lettres famil. XI*, et la *III[e] Philippique*.

2. Cicér., *Philipp.*, VI, III : An ille (Antonius) id faciat, quod paullo ante decretum est, ut exercitum citra flumen Rubiconem, qui finis est Galliæ, educeret? etc.

LIX. ..... (O). « Comment cela[1] pourra-t-il se faire? si mettant en avant le peuple, ou pour lui faire plaisir, nous laissons Antonius garder la Celtique, et si Decmus, nous l'appelons ici avec ses trois légions, pour l'envoyer, dès son arrivée, en Macédonie, etc..... »

LX. ..... (O). « Ménageons le peuple qui naguère a couru sus aux meurtriers de Cæsar ; n'ayons pas l'air d'avoir voulu lui faire injure en donnant à notre gré les provinces, en louant Decmus de méconnaître une loi du peuple, et en déclarant ennemi public Antonius pour avoir reçu du peuple la Celtique..... »

LXI. ..... (O). Son opinion ne prévalut pas sur le point de faire donner à Antonius le gouvernement de la Celtique..... Un décret porta qu'on signifierait à Antonius qu'il avait la Macédonie au lieu de la Celtique. Pour les autres injonctions [à lui faire, les Sénateurs], soit à leur insu, soit à dessein, laissèrent à Cicéron le soin de les rédiger et de les remettre aux députés [qu'on lui enverrait]. Cicéron, outrepassant leur pensée, les rédigea en ces termes : « Antonius s'éloignerait sur-le-champ de Mutinè[2], et laisserait la Celtique à Decmus. Arrivé à un jour dit au Rubicon, limite de l'Italie et de la Celtique, il resterait en deçà de ce fleuve et s'en remettrait au Sénat de tout ce qui le regardait..... »

LXII. ..... Antonius s'emportait contre le Sénat, contre Cicéron : il s'étonnait..... que Cicéron s'attachât à celui qui tenait la Celtique sans l'avoir reçue de personne après Cæsar, et fît la guerre à celui qui

1. La restauration de la République sous le régime des autorités légales.

2. Modène.

Κελτικὴν προστίθεται, τῷ δὲ παρὰ τοῦ δήμου λαβόντι πολεμεῖ..... « Ἀντώνιον δὲ καὶ Δολοβέλλαν ἡγεῖται πολεμίους, ὅτι τῶν δεδομένων ἐχόμεθα· ἥδε γάρ ἐστιν ἡ ἀληθὴς αἰτία. (H. Est., p. 567.) Κᾂν ἀποστῶ τῆς Κελτικῆς, οὔτε πολέμιος οὔτε μόναρχός εἰμι..... »

LXIII. Τοιάδε πολλὰ εἰπὼν ὁ Ἀντώνιος, ἀντέγραφε τῷ δόγματι..... Ὁ δῆμος ἔδωκέ μοι τὴν Κελτικὴν νόμῳ, καὶ Δέκμον ἀπειθοῦντα τῷ νόμῳ μετελεύσομαι, καὶ τοῦ φόνου δίκας ἀπαιτήσω μόνον ὑπὲρ ἁπάντων..... »

LXIV. (H. Est., p. 567-568.) ..... Καὶ ὁ Καῖσαρ ἕκαστα μαθὼν, ἠπόρητο· ἡγούμενος..... Δέκμῳ τὴν Κελτικὴν βεβαιοῦντας, Ἀντωνίῳ δόξαι περὶ τυραννίδος διαφέρεσθαι.....

LXX. (H. Est., p. 572.) ..... Ὧδε μὲν Ἀντωνίῳ καλῶς ἀγωνισαμένῳ διέφθαρτο ἡ ἰσχὺς, διὰ Ἵρτιον ἐπελθόντα. Καὶ ηὐλίσατο ἐν κώμῃ παρὰ τὸ πεδίον ἀχαρακώτως· Ἀγορὰ Κελτῶν [1] ἡ κώμη καλεῖται.....

LXXIII. (H. Est., p. 573.) ..... Πυθόμενος τούτων ὁ Δέκμος, ἔστη τε πρὸ τοῦ ποταμοῦ, καὶ καλῶν ὀνομαστὶ τὸν Καίσαρα, σὺν βοῇ τὰ γράμματα τῆς βουλῆς ἀνεγίγνωσκε διδούσης οἱ τὴν Κελτικὴν ἡγεμονίαν, ἀπηγόρευέ τε Καίσαρι χωρὶς ὑπάτων μὴ περᾷν τὸν ποταμὸν ἐς ἀλλο-

1. En latin *Forum Gallorum,* dans la Gaule cispadane, à 8 m. p. au S.-E. de Mutina, sur la via Æmilia, près du fl. Scultenna, auj. *Castel-Franco.* — V. Cic., *Epist.,* X, 30; Frontin, *Strat.,* 1, 5, 29; *Itinér. d'Antonin,* Iter a Cæsaraugusta Beneharnum... Forum Gallorum M. P. XXX; Tab. Peut.

l'avait reçue du peuple..... « Il nous regarde comme des ennemis publics, Dolobella et moi, qui nous en tenons à ce qui nous a été donné, car c'est là la vraie cause. Que je sorte de la Celtique, et je ne suis plus ni un ennemi public ni un monarque. »

LXIII (O). Après avoir dit beaucoup de choses dans ce sens, il répondit par écrit au sénatus-consulte :..... « Le peuple m'a donné la Celtique par une loi ; Decmus désobéit à cette loi, eh bien ! j'irai le chercher, moi, et à lui seul pour tous je demanderai compte du meurtre [de Cæsar].....

LXIV. ..... (O). Cæsar [le jeune] ayant appris tout de point en point[1] avait été embarrassé..... Il pensait qu'en assurant la Celtique à Decmus, [le Sénat] marquait son ressentiment contre Antonius au sujet de la tyrannie.....

LXX. ..... (O). Ainsi Antonius, après un beau combat, vit sa force détruite par l'arrivée d'Hirtius[2]. Il bivouaqua dans une bourgade, en rase campagne, sans retranchements ; le *Marché des Celtes*, tel est le nom de cette bourgade.....

LXXIII. ..... (O). Instruit de ces choses[3], Decmus se mit debout devant le fleuve[4], et appelant Cæsar par son nom, il lut à haute voix le décret du Sénat qui lui donnait le gouvernement de la Celtique, et il défendit à Cæsar d'entrer, en passant le fleuve sans les consuls, dans un gouvernement appartenant à un

1. Les mesures prises par le Sénat.

2. An de R. 711, av. J.-C. 43. — Cf. Lettre de Galba à Cicér. *Lettr. famil.*, X, 30.

3. Du refus d'Octave d'entrer en pourparler avec lui.

4. Une des deux rivières entre lesquelles se trouve Modène, *Mutina*, le Gabalus, auj. *la Secchia*, ou la Scultenna, auj. le *Panaro*.

τρίαν ἡγεμονίαν, μηδὲ ἐπὶ Ἀντώνιον ἔτι χωρεῖν, αὐτὸς γὰρ αὐτὸν διώκων ἀρκέσειν.....

LXXIV. (H. Est., p. 574.) ..... Θυσίας (ὁ Κικέρων) τε ἐπ' Ἀντωνίῳ πεντήκοντα ἡμερῶν ἱκεσίους ἐψηφίζετο[1], ὅσας οὔτε ἐπὶ Κελτοῖς οὔτε ἐπὶ ἄλλῳ πολέμῳ ποτὲ ἐψηφίσαντο Ῥωμαῖοι.....

LXXXIII. (H. Est., p. 579.) Ὑπερθέσεων δὲ ἐπὶ τῇ χειροτονίᾳ[2] γιγνομένων ἐννόμων κατὰ ποικίλας αἰτίας, ὁ Ἀντώνιος ἐν τῷ τέως τὰς Ἄλπεις ὑπερέβαλε, Κουλλεῶνα πείσας τὸν ἐκ Λεπίδου φύλακα αὐτῶν· ἐπί τε ποταμὸν ἦλθεν[3], ἔνθα ἐστρατοπεδευμένος ἦν ὁ Λέπιδος, καὶ οὔτε χάρακα περιεβάλετο, οὔτε τάφρον, ὡς δὴ φίλῳ παραστρατοπεδεύων.....· καὶ τὸν ποταμὸν ἐς εὐμάρειαν τῆς ἐπιμιξίας ναυσὶν ἐγεφύρουν.....

LXXXVIII. (H. Est., p. 582.) ..... Περάσας δὲ τὸν Ῥουβίκωνα ποταμὸν ἐκ τῆς Κελτικῆς ἐς τὴν Ἰταλίαν, ὅντινα αὐτοῦ καὶ ὁ πατὴρ ὁμοίως ἐπὶ τῷ πολιτικῷ πολέμῳ πρῶτον ἐπέρασεν, ἐς δύο πάντας διῄρει.....

XCVII. (H. Est., p. 588.) ..... Ἀπογνοὺς οὖν μάχεσθαι, φεύγειν ἔκρινε πρὸς Βροῦτον ἐς Μακεδονίαν. Ἔφευγε δὲ οὐκ ἐπὶ τάδε τῶν Ἄλπεων, ἀλλ' ἐς Ῥάβενναν ἢ Ἀκυληίαν. Ἐπεὶ δὲ Καῖσαρ ὥδευε ταύτῃ, ἄλλην μακροτέραν

1. Voy. Cicér., *Philipp.*, XIV, 11 et 14. — Cf. Dion, XLVI, 39, où, au lieu de πεντήκοντα, on lit ἑξήκοντα. — Ἱκεσίους est une correction de Schweigh. qui a été généralement adoptée, au lieu de ἐτησίους des anciennes éditions. — Candide, *anniversarias*.

2. Schweigh. conjecture ἐπὶ τούτοις τῇ χειροτονίᾳ.

3. Il s'agit de l'Argens, *Argenteus amnis*. V. la lettre de Lépide à Cicéron dans les *Famil.*, X, 34.

autre, et de marcher contre Antonius : s'il fallait le poursuivre, il suffirait à cette tâche.....

VIII, 2. ..... (O). Brennos ayant mené à Delphes son armée de Galates (Gaulois), les Phôcéens furent de tout le peuple hellénique ceux qui montrèrent le plus de cœur à la guerre.....

4. ..... De ces statues, celle qui est dans le vestibule de ce temple[1] est une offrande des Massaliôtes, et elle surpasse en grandeur la statue qui est à l'intérieur. Les Massaliôtes sont des colons des Phôcæens de l'Iônie, et une partie même de ceux qui s'enfuirent jadis de Phôcæa devant Harpage le Mède. Ayant eu le dessus dans une bataille navale contre les *Carchèdonii*, ils furent mis en possession de la terre qu'ils habitent et arrivèrent à un haut degré de prospérité.

7. L'offrande des Massaliôtes est en bronze.....

1. Le temple d'Athènâ (Minerve) Pronœa, à Delphes ; c'était le quatrième en entrant dans la ville. Il y avait eu aussi dans ce temple un bouclier d'or, don de Crœsos, mais il avait été enlevé avant l'arrivée des Gaulois.

XV, 1. (Sylb., p. 636.) ..... Στρατηγοὶ δὲ οἱ πολλοὶ καὶ Ἀρτέμιδος, τὸ δὲ Ἀθηνᾶς, δύο τε Ἀπόλλωνος ἀγάλματά ἐστιν Αἰτωλῶν, ἡνίκα σφίσιν ἐξειργάσθη τὰ ἐς Γαλάτας.

2. Στρατιὰν[1] δὲ τὴν Κελτῶν, ὡς ἐκ τῆς Εὐρώπης διαβήσοιτο ἐς τὴν Ἀσίαν ἐπ' ὀλέθρῳ τῶν πόλεων, Φαεννὶς προεδήλωσεν ἐν τοῖς χρησμοῖς γενεᾷ πρότερον, ἢ ἐπράχθη τὸ ἔργον·

Δὴ τότ'[2] ἀμειψάμενος στεινὸν πόρον Ἑλλησπόντου
αὐλήσει Γαλατῶν ὀλοὸς στρατὸς, οἵ ῥ' ἀθεμίστως
Ἀσίδα πορθήσουσι· θεὸς δ' ἔτι κύντερα θήσει
πᾶσι[3] μάλ', οἳ ναίουσι παρ' ἠιόνεσσι θαλάσσης
εἰς ὀλίγον· τάχα γάρ σφιν ἀοσσητῆρα Κρονίων
ὁρμήσει, ταύροιο διοτρεφέος φίλον υἱὸν,
ὃς πᾶσιν Γαλάτῃσιν ὀλέθριον ἦμαρ ἐφήσει.

Παῖδα δὲ εἶπε ταύρου τὸν ἐν Περγάμῳ βασιλεύσαντα Ἄτταλον· τὸν δὲ αὐτὸν τοῦτον καὶ ταυρόκερων προσείρηκε χρηστήριον.....

XVI, 4. (Sylb., p. 637.) ..... Εὐρύδαμον δὲ στρατηγόν τε Αἰτωλῶν, καὶ στρατοῦ τοῦ Γαλατῶν ἐναντία ἡγησάμενον, ἀνέθεσαν οἱ Αἰτωλοί.

XVII, 8. Ἔστι δὲ νῆσος οὐ πολὺ ἀπέχουσα[4] τῆς Σαρδοῦς, Κύρνος ὑπὸ Ἑλλήνων, ὑπὸ δὲ Λιβύων τῶν

1. Anc. éditt. στρατείαν, correct. proposée par Facius.

2. Manque dans le Mosc. R. Amas. paraît avoir lu ἠιόνας et au vers suivant ἐμπλήσει; il traduit *milite multo littora complebit*. Sylb. avait pensé à αὐχήσει, *jactabundus insultabit*. — Au lieu d'ὀλοὸς le Mosc. donne ὅλος.

3. *Vulg.* πάγχυ; πᾶσι, conject. de Bekker adoptée par Dindorf et Schubart.

4. Un peu plus bas, il dit que Cyrnos est à huit stades de distance de Sardô. Strabon, V, II, 6, dans notre t. I, p. 198-199, dit 60 stades.

XV, 1. ..... Il y a là (à Delphes) la plupart des stratèges[1], la statue d'Artémis, celle d'Athénâ et deux d'Apollon, [toutes consacrées] par les Ætôles après qu'ils eurent mené à bonne fin leur lutte contre les Galates (Gaulois).

2. L'expédition des Celtes, leur passage en Asie pour détruire des villes, tout cela avait été prédit par Phaennis[2] dans ses oracles, une génération avant ces événements :

Alors ayant franchi l'étroit passage de l'Hellespont,
s'exaltera, apportant la ruine, une armée de Galates[3] qui injustement
ravageront l'*Aside;* mais un dieu infligera des maux encore plus
à tous ceux qui habitent près des rivages de la mer, [affreux
mais pour peu [de temps]. Car bientôt un défenseur leur sera par
envoyé, fils aimé du divin taureau, [le fils de Cronos
qui apportera à tous les Galates le jour de la ruine.

Celui que Phaennis appelle le fils du taureau est Attale, qui régnait à Pergame. Un oracle donne aussi à ce même prince l'épithète de *taurocérôs*[4].

XVI, 4. ..... Il y a aussi une statue d'Eurydamos, stratège des Ætôles qui commandait leur armée contre les Galates (Gaulois) : elle a été consacrée par les Ætôles.

XVII, 8. ..... (O). A peu de distance de Sardô, il est une île appelée par les Hellènes Cyrnos, et par les

1. V. ci-dessous, XVI, 4, le nom d'un de ces généraux étoliens, vainqueurs des Gaulois, dont la statue fut consacrée dans le temple de Delphes par la reconnaissance de ses concitoyens.

2. Fille d'un roi de Chaonie (Épire).

3. Gaulois.

4. ταυροκέρως, taureau-cornu.

ἐνοικούντων καλουμένη Κορσική [1]. Ἐκ ταύτης μοῖρα οὐκ ἐλαχίστη στάσει πιεσθεῖσα ἀφίκετο ἐς τὴν Σαρδὼ, καὶ ᾤκησαν τῆς χώρας ἀποτεμόμενοι τῆς ἐν τοῖς ὄρεσιν· ὑπὸ μέν τοι τῶν ἐν τῇ Σαρδοῖ τῷ ὀνόματι ὀνομάζονται τῷ οἴκοθεν Κόρσοι.

9. Καρχηδόνιοι δὲ, ὅτε ναυτικῷ μάλιστα ἴσχυσαν, κατεστρέψαντο μὲν καὶ ἅπαντας τοὺς ἐν τῇ Σαρδοῖ, πλὴν τῶν Ἰλιέων τε καὶ Κορσῶν..... Τοῦ δὲ ἐπικουρικοῦ τῶν Καρχηδονίων Λίβυες ἢ Ἴβηρες ἐς ἀμφισβήτησιν λαφύρων ἀφικόμενοι, καὶ, ὡς εἶχον ὀργῆς, ἀφιστάντες ἐσῳκίσαντο ἐς τὰ ὑψηλὰ καὶ οὗτοι τῆς νήσου· Βαλαροὶ τὸ ὄνομά ἐστιν αὐτοῖς κατὰ γλῶσσαν τὴν Κυρνίων· Βαλαροὺς γὰρ τοὺς φυγάδας καλοῦσιν οἱ Κύρνιοι.....

XVIII, 7. (Sylb., p. 642.) ..... Ὁ δὲ Ἀπόλλων ὁ ἐγγυτάτω τοῦ λέοντος Μασσαλιωτῶν ἐστιν ἀπὸ τῆς πρὸς Καρχηδονίους ἀπάρχη ναυμαχίας. Πεποίηται δὲ ὑπὸ Αἰτωλῶν τρόπαιόν τε καὶ γυναικὸς ἄγαλμα ὡπλισμένης, ἡ Αἰτωλία δῆθεν· ταῦτα ἀνέθεσαν ἐπιθέντες οἱ Αἰτωλοὶ Γαλάταις δίκην ὠμότητος ἐς Καλλιέας [2].

XIX, 4. (Sylb., p. 643.) ..... Αἰτωλοὶ δὲ τά τε ὄπισθε καὶ τὰ ἐν ἀριστερᾷ Γαλατῶν δὴ ὅπλα· σχῆμα δὲ αὐτῶν ἐστιν ἐγγυτάτω τῶν Περσικῶν γέρρων [3].

1. Strabon, V, II, 7, dans notre t. I, *ibid.*, dit que c'est aussi le nom que lui donnent les Romains.
2. V. ci-après, XXVIII, 3.
3. V. *supr.*, VIII, L, 1.

Libyes qui l'habitent Corsikè[1]. Une partie non minime de la population, écrasée dans une sédition, passa de cette île dans celle de Sardô, et se tailla dans la montagne un territoire où elle s'établit. Les gens de Sardô nomment ces émigrés du nom qu'ils ont apporté de leur pays, Corses.

9. Les *Carchèdonii*, au temps de leur plus grande puissance maritime, subjuguèrent tous les hommes de Sardô, à l'exception des Iliens et des Corses..... Parmi les auxiliaires des *Carchèdonii*, les Libyes ou les Ibères étant entrés en contestation avec eux au sujet des dépouilles, et, dans l'état d'irritation où ils étaient, s'étant séparés d'eux, établirent leurs demeures, eux aussi, dans les parties hautes de l'île. *Balares* est leur nom dans la langue des *Cyrnii*, car les exilés sont appelés *Balares* par les gens de Cyrnos.

XVIII, 7. ..... Tout près du lion (des Phôcéens d'Elatée) se trouve l'Apollon des Massaliôtes, prémices de leur victoire navale sur les *Carchèdonii*. Les Ætôles ont fait là un trophée et une statue de femme armée qui est l'Ætôlie. Les Ætôles ont consacré ces offrandes après avoir infligé aux Galates (Gaulois) le châtiment de leur cruauté envers les Calliens.

XIX, 4. ..... Les Ætôles ont offert les armures qui sont derrière et à gauche[2]; ce sont celles des Galates. La forme de ces [boucliers] se rapproche beaucoup de celle des *gerres* persiques.

1. En latin *Corsica*, la Corse.

2. De celles qui avaient été consacrées par les Athéniens en souvenir de la bataille de Marathon, et qui étaient fixées aux chapiteaux des colonnes.

5. Γαλατῶν δὲ τῆς ἐς τὴν Ἑλλάδα ἐπιστρατείας ἔχει μέν τινα μνήμην καὶ ἡ ἐς τὸ βουλευτήριον ἡμῖν τὸ Ἀττικὸν συγγραφή [1]. Προάγειν δὲ ἐς τὸ σαφέστερον τὰ ἐς αὐτοὺς ἠθέλησα ἐν τῷ λόγῳ τῷ ἐς Δελφούς, ὅτι ἔργων τῶν ἐπὶ τοὺς βαρβάρους τὰ μέγιστα [2] Ἕλλησιν ἐνταῦθα ἦν. Ὑπερόριον μὲν οἱ Κελτοὶ στρατείαν πρώτην ὑπὸ ἡγεμόνι ἐποιήσαντο Καμβαύλῃ · προελθόντες δὲ ἄχρι τῆς Θρᾴκης, τὸ πρόσω τῆς πορείας οὐκ ἀπεθάρσησαν, καταγνόντες αὑτῶν, ὅτι ὀλίγοι τε ἦσαν, καὶ οὐκ ἀξιόμαχοι κατ' ἀριθμὸν Ἕλλησιν.

6. (Sylb., p. 644.) Ἐπεὶ δὲ καὶ δεύτερον ἐπιφέρειν ἐδόκει ὅπλα ἐπὶ τὴν ἄλλων, ἐνῆγον δὲ μάλιστα οἱ ὁμοῦ Καμβαύλῃ ἐκστρατεύσαντες, ἅτε λῃστειῶν [3] τε ἤδη γεγευμένοι καὶ ἁρπαγῆς καὶ κερδῶν ἐς ἔρωτα ἥκοντες, πολὺς μὲν δὴ πεζός, οὐκ ἐλάχιστοι δὲ ἠθροίσθησαν καὶ ἐς τὸ ἱππικόν. Ἐς μοίρας οὖν τρεῖς ἔνεμον οἱ ἡγεμόνες τὸν στρατὸν, καὶ ἄλλος ἐξ αὐτῶν ἐπὶ ἄλλην ἐτέτακτο ἰέναι χώραν.

7. Ἐπὶ μὲν οὖν Θρᾷκας καὶ τὸ ἔθνος τὸ Τριβαλλῶν ἔμελλε Κερέθριος ἡγήσεσθαι · τοῖς δὲ ἐς Παιονίαν ἰοῦσι Βρέννος ἦσαν καὶ Ἀκιχώριος ἄρχοντες · Βόλγιός [4] τε ἐπὶ

1. V. *supr.*, I, iv.
2. Anc. éditt. μάλιστα; Dind., Schubart μέγιστα.
3. Leçon du ms. de Moscou, signalée par Facius, adoptée par Clavier et par tous les édit. suivants.
4. Justin., XXIV, 5, *Belgius*.

5. Quant à l'expédition des Galates (Gaulois) dans l'Hellade, il en est fait mention dans notre description du lieu où s'assemble le sénat attique. J'ai voulu présenter avec plus de clarté ce qui s'est fait contre eux, dans le livre qui concerne Delphes, parce que c'est là qu'eurent lieu les plus grands exploits des Hellènes contre les Barbares[1]. Les Celtes firent leur première expédition au delà de leur frontière sous les ordres de Cambaulès. S'étant avancés jusqu'à la Thracè, ils n'osèrent pas aller plus loin, parce qu'ils reconnurent combien peu ils étaient, et que par leur nombre ils n'étaient pas de force à combattre les Hellènes.

6. Quand il leur parut à propos de porter une seconde fois les armes sur les terres d'autrui, ils y étaient poussés surtout par ceux qui avaient été de l'expédition de Cambaulès, qui avaient déjà goûté du brigandage, et s'étaient pris d'amour pour le pillage et les gains [qu'on y fait]. Aussi eurent-ils bientôt rassemblé une infanterie considérable, et, pour leur cavalerie, des hommes qui n'étaient pas en petit nombre. Les chefs partagèrent en trois corps cette armée, et chacun d'eux fut désigné pour aller dans un pays différent.

7. Céréthrios devait en conduire un contre les Thrâces et chez le peuple des Triballes. Ceux qui marchèrent contre la Pæonie eurent pour chefs Brennos et Acichôrios. Bolgios marcha contre les Macédones et

1. Les détails des deux récits offrent quelques différences peu importantes. Le premier attribue aux Athéniens la meilleure part dans la délivrance de la Grèce. Ici, Pausanias rend justice à chacun des peuples qui s'armèrent pour la cause commune.

Μακεδόνας τε καὶ Ἰλλυριοὺς ἤλασε, καὶ ἐς ἀγῶνα πρὸς Πτολεμαῖον κατέστη, τότε ἔχοντα τὴν Μακεδόνων βασιλείαν. Πτολεμαῖος[1] δὲ ἦν οὗτος, ὃς Σέλευκον ἐδολοφόνησε τὸν Ἀντιόχου, καταπεφευγὼς ὅμως ἱκέτης ὡς αὐτὸν, καὶ εἶχεν ἐπίκλησιν Κεραυνὸς διὰ τὸ ἄγαν τολμηρόν. Καὶ ὁ μὲν αὐτός τε ὁ Πτολεμαῖος ἀπέθανεν ἐν τῇ μάχῃ, καὶ τῶν Μακεδόνων ἐγένετο οὐκ ἐλαχίστη φθορά. Προελθεῖν δὲ ὡς ἐπὶ τὴν Ἑλλάδα οὐδὲ τότε ἐθάρρησαν οἱ Κελτοί, καὶ ὁ δεύτερος οὕτω στόλος ἐπανῆλθεν ἐς τὴν οἰκείαν.

8. Ἔνθα δὴ ὁ Βρέννος πολὺς μὲν ἐν συλλόγοις τοῖς κοινοῖς, πολὺς δὲ καθ' ἕκαστον ἦν τῶν ἐν τέλει Γαλατῶν, ἐπὶ τὴν Ἑλλάδα ἐπαίρων στρατεύεσθαι, ἀσθένειάν τε Ἑλλήνων τὴν ἐν τῷ παρόντι διηγούμενος, καὶ ὡς χρήματα πολλὰ μὲν ἐν τῷ κοινῷ, πλείονα δὲ ἐν ἱεροῖς τά τε ἀναθήματα, καὶ ἄργυρος καὶ χρυσός ἐστιν[2] ἐπίσημος· ἀνέπεισέ τε δὴ τοὺς Γαλάτας ἐλαύνειν ἐπὶ τὴν Ἑλλάδα, καὶ αὐτῷ συνάρχοντας ἄλλους τε προσείλετο τῶν ἐν τέλει, καὶ τὸν Ἀκιχώριον.

9. Ὁ δὲ ἀθροισθεὶς στρατὸς, πεζοὶ μὲν μυριάδες ἐγένοντο πεντεκαίδεκα προσόντων σφίσι δισχιλίων· οἱ δὲ ἱππεύοντες τετρακόσιοι καὶ δισμύριοι. Τοσοῦτοι μὲν ἦσαν τῶν ἱππέων τὸ ἀεὶ ἐνεργόν· ἀριθμὸς δὲ αὐτῶν ὁ ἀληθὴς διακόσιοί τε καὶ χίλιοι καὶ ἓξ μυριάδες· δύο γὰρ οἰκέται περὶ ἕκαστον τῶν ἱππευόντων ἦσαν ἀγαθοὶ καὶ αὐτοὶ τὰ ἱππικὰ, καὶ ἵππους ὁμοίως ἔχοντες.

1. V. *supr.*, I, xvi, 2.

2. Mosc. et Ald. χρ. ἔτι ἐπίσ. Corr. de Camerarius et de Hartung, admise par Sylb. et Kuhn. — Conject. de Sylb. ἔτι ἄσημος.

les *Illyrii* et entra en lutte avec Ptolémæos qui avait alors la royauté chez les Macédones. Ce Ptolémæos était celui qui avait tué traîtreusement Séleucos, fils d'Antiochos, chez qui pourtant il s'était réfugié en suppliant. Il avait pour surnom Céraunos[1] à cause de son audace extrême. Il mourut dans le combat, et il se fit des Macédones un massacre qui ne fut pas peu de chose. Mais les Celtes n'osèrent pas même alors avancer plus loin dans l'Hellade, et cette seconde armée, comme l'autre, retourna dans leurs foyers.

8. Alors Brennos, se multipliant partout, tantôt dans les assemblées publiques, tantôt chez chacun des Galates qui étaient au pouvoir, suscitait une expédition contre l'Hellade, exposait la faiblesse présente des Hellènes, la richesse de leurs trésors publics et la richesse plus grande encore de leurs temples, où il y avait une telle quantité d'offrandes, d'or et d'argent monnayés. Il persuada ainsi les Galates (Gaulois) de marcher de nouveau contre l'Hellade, et il choisit pour commander avec lui des hommes qui étaient au pouvoir et entre autres Acichôrios.

9. L'armée rassemblée comptait en infanterie quinze myriades d'hommes, plus deux mille, et en cavalerie vingt mille quatre cents. — Tel était bien le nombre des cavaliers toujours en action; mais l'effectif réel était de six myriades et douze cents. Car chaque cavalier avait avec lui deux domestiques[2], bons cavaliers eux-mêmes et ayant pareillement des chevaux.

1. Le Foudre. — 2. Le mot οἰκέτης, et plus loin δοῦλος, correspond au mot gaulois *ambact.* Festus : *Ambactus* apud Ennium lingua gallica *servus.* — Cf. Cæsar, *G. G.*, VI, 15, où le sens d'*ambactus* est plus restreint, et III, 22, sur les *soldurii;* v. aussi Nicolas de Damas dans notre t. II, p. 495.

10. Γαλατῶν δὲ τοῖς ἱππεύουσιν ἀγῶνος συνεστηκότος, ὑπομένοντες τῆς τάξεως ὄπισθεν οἰκέται τοσάδε σφίσιν ἐγένοντο χρήσιμοι · τῷ γὰρ ἱππεῖ συμβὰν ἢ τῷ ἵππῳ πεσεῖν, τὸν μὲν ἵππον παρεῖχεν ἀναβῆναι τῷ ἀνδρὶ, τελευτήσαντος δὲ τοῦ ἀνδρὸς, ὁ δοῦλος ἀντὶ τοῦ δεσπότου τὸν ἵππον ἀνέβαινεν · εἰ δὲ ἀμφοτέρους ἐπιλάβοι τὸ χρεὼν, ἐνταῦθα ἕτοιμος ἦν ἱππεύς. Λαμβανόντων δὲ τραύματα, ὁ μὲν ὑπεξῆγε τῶν δούλων ἐς τὸ στρατόπεδον τὸν τραυματίαν, ὁ δὲ καθίστατο ἐς τὴν τάξιν ἀντὶ τοῦ ἀπελθόντος.

11. (Sylb., p. 645.) Ταῦτα (ἐμοὶ δοκεῖν) ἐνομίσθη οἷςτ Γαλάταις ἐς μίμησιν τοῦ ἐν Πέρσαις ἀριθμοῦ τῶν μυρίων, οἳ ἐκαλοῦντο Ἀθάνατοι. Διαφορὰ δὲ ἦν, ὅτι κατελέγοντο ἀντὶ τῶν ἀποθνησκόντων, ὑπὸ μὲν Περσῶν τῆς μάχης ὕστερον, Γαλάταις δὲ ὑπὸ αὐτὴν τοῦ ἔργου τὴν ἀκμὴν[1] ὁ ἀριθμὸς ἀπεπληροῦτο τῶν ἱππέων.

12. Τοῦτο ὠνόμαζον τὸ σύνταγμα τριμαρκισίαν[2] τῇ ἐπιχωρίῳ φωνῇ · καὶ ἵππον τὸ ὄνομα ἴστω τὶς μάρκαν ὄντα ὑπὸ τῶν Κελτῶν. Παρασκευῇ μὲν τοσαύτῃ καὶ μετὰ διανοίας τοσαύτης ἐπὶ τὴν Ἑλλάδα ὁ Βρέννος ἤλαυνε.

XX, 1. Τοῖς δέ γε Ἕλλησι κατεπεπτώκει μὲν ἐς ἅπαν τὰ φρονήματα, τὸ δὲ ἰσχυρὸν τοῦ δείματος προῆγεν ἐς ἀνάγκην τῇ Ἑλλάδι ἀμύνειν. Ἑώρων δὲ τὸν ἐν τῷ

1. Corr. de Sylb. d'après le c. XXI, 4, ἐν αὐτῇ ἀγῶνος..... τῇ ἀκμῇ, généralement admise depuis Facius qui se contente de l'indiquer en note ; *vulgo* ὑπὸ αὐτὴν τοῦ ἔργου τὴν δίκην.

2. Ms. Mosc. τριμαρισίαν, défendu par Camerarius qui préfère τριμαρρισίαν et ensuite μάρραν.

10. Quand pour la cavalerie des Galates la lutte est engagée, ces domestiques se tiennent en arrière du corps de bataille, et voici quels services ils rendent. Arrive-t-il à un cavalier ou à un cheval de tomber [mort], dans le second cas, le domestique donne au maître son cheval à monter ; et si c'est l'homme qui a été tué, l'esclave monte à la place de son maître. Si la fatalité vient à les saisir l'un et l'autre, il y a là un cavalier tout prêt. Le maître reçoit-il une blessure, l'un des esclaves emmène au camp le blessé, et l'autre se met dans le rang à la place de celui qui est parti[1].

11. Cette règle, à ce que je crois, a été établie par les Galates (Gaulois), à l'imitation des Dix mille chez les Perses, qu'on appelait les Immortels. Il y a pourtant une différence, c'est que, chez les Perses, la liste de ceux qui remplaçaient les morts était dressée après la bataille, tandis que pour les Galates (Gaulois), c'est dans la chaleur même de l'action que se complétait le nombre des cavaliers.

12. Cette organisation se nommait *trimarkisia* dans la langue du pays (il faut savoir que *marka* est le nom du cheval chez les Celtes). — Tels furent les armements et les desseins de Brennos quand il marcha contre l'Hellade.

XX, 1. ..... Le courage des Hellènes était totalement abattu ; mais la violence de leur crainte les amena à la nécessité de défendre l'Hellade. Ils voyaient que la

1. Voici la phrase de Cæsar rappelée dans la note 2 de la p. 163 : Hi (equites) cum est usus atque aliquod bellum incidit, ... omnes in bello versantur ; atque eorum ut quisque est genere copiisque amplissimus, ita *plurimos circum se ambactos* clientesque habent... M. Jannetaz remarque que les *ambacti* doivent être distincts des *soldurii* (Cæsar, III, 22), parce que l'auteur n'a pas mentionné leur ressemblance.

παρόντι ἀγῶνα οὐχ ὑπὲρ ἐλευθερίας γενησόμενον, καθὰ ἐπὶ τοῦ Μήδου ποτὲ, οὐδὲ δοῦσιν ὕδωρ καὶ γῆν τὰ ἀπὸ τούτου σφίσιν ἄδειαν φέροντα· ἀλλὰ τά τε ἐς Μακεδόνας καὶ Θρᾷκας καὶ Παίονας τὰ ἐπὶ τῆς προτέρας καταδρομῆς τῶν Γαλατῶν ἔτι σφίσιν ἔκειτο ἐν μνήμῃ, καὶ τὰ ἐν τῷ παρόντι τὰ ἐς Θεσσαλοὺς παρανομήματα ἀπηγγέλτο. Ὡς οὖν ἀπολωλέναι δέον ἢ[1] ἐπικρατεστέρους εἶναι, κατ' ἄνδρα τε ἰδίᾳ καὶ αἱ πόλεις διέκειντο ἐν κοινῷ. Πάρεστι δὲ, ὅστις ἐθέλοι, καὶ ἀνταριθμῆσαι τούς τε ἐπὶ βασιλέα Ξέρξην ἐς Πύλας, καὶ τοὺς τότε ἐναντία Γαλατῶν ἀθροισθέντας. Ἐπὶ μέν γε τὸν Μῆδον ἀφίκοντο τοσοίδε Ἑλλήνων.....

3. (Sylb., p. 646.) Ἐπὶ δὲ τοὺς ἀπὸ Ὠκεανοῦ βαρβάρους τοσοίδε ἐς Θερμοπύλας ἀφίκοντο Ἕλληνες· ὁπλῖται μύριοι, καὶ ἵππος πεντακοσία παρὰ Βοιωτῶν· ἐβοιωτάρχουν δὲ Κηφισσόδοτος, καὶ Θεαρίδας, καὶ Διογένης, καὶ Λύσανδρος. Ἐκ δὲ Φωκέων ἱππεῖς πεντακόσιοι, καὶ ἐς τρισχιλίους ὁ ἀριθμὸς τῶν πεζῶν· στρατηγοὶ δὲ Φωκέων Κριτόβουλός τε ἦν καὶ Ἀντίοχος.

4. Λοκροὺς δὲ τοὺς ἐπὶ Ἀταλάντῃ τῇ νήσῳ Μειδίας ἦγεν· ἀριθμὸς δὲ αὐτῶν ἑπτακόσιοι, καὶ ἱππικόν σφισιν οὐ προσῆν. Παρὰ δὲ Μεγαρέων ἀφίκοντο ὁπλῖται τετρα-

1. *Vulgo* ἤδ' οὖν; Sylb. proposait ἢ δ' οὖν ou ἢ δέον. La leçon que nous donnons est celle de Dindorf et de Schubart.

lutte présente n'avait pas la liberté pour objet, comme jadis au temps du Mède, et qu'à donner l'eau et la terre, ils ne gagneraient pas d'être dès lors sans nulle crainte. Ce qui était arrivé aux Macédones, aux Thrâces et aux Pæones, lors de la première incursion des Galates (Gaulois), était encore dans leur mémoire, et, dans le moment même, on leur annonçait les outrages infligés aux Thessales. Il fallait donc mourir ou être les plus forts : chaque homme en particulier s'arrêta à cette idée qui fut aussi la pensée commune des villes. On peut, si l'on veut, comparer pour le nombre les troupes qui se réunirent à Pyles contre le roi Xerxès, et celles qui alors firent face aux Galates (Gaulois).

(Suit l'énumération des contingents de chaque peuple dans la deuxième guerre médique : ils formaient un total de onze mille deux cents hommes.)

3. Contre les barbares venus de l'Océan voici combien d'Hellènes vinrent aux Thermopyles : dix mille hoplites et cinq cents chevaux de chez les Bœôtes ; les bœôtarques étaient alors Cèphissodote, Théaridas, Diogénès et Lysandre. De chez les Phôcéens cinq cents cavaliers, et des fantassins au nombre d'environ trois mille ; les stratèges des Phôcéens étaient Critobule et Antiochos.

4. Les Locres, qui sont près de l'île d'Atalante, étaient conduits par Midias ; ils étaient sept cents, et n'avaient pas de cavalerie[1]. De chez les Mégaréens il

1. Ce sont les Locres ou Locriens d'Opunte. Cette île d'Atalante est entre la côte de la Locride et l'Eubée. — V. l'*index* de Strabon, éd. Didot ; Thucydide, II, 52, et Diodore, XII, XLIV, 59.

κόσιοι· τούτων ἦγε τὸ ἱππικὸν Μεγαρεύς[1]. Αἰτωλῶν δὲ πλείστη τε ἐγένετο στρατιὰ, καὶ ἐς πᾶσαν μάχης ἰδέαν· ἡ μὲν ἵππος, οὐ λέγουσιν, ὁπόση· ψιλοὶ δὲ ἐννενήκοντα, καὶ ἑπτακισχιλίων ἀριθμὸν ἦσαν οἱ ὁπλιτεύοντες[2]. Αἰτωλοὺς δὲ ἦγον Πολύαρχος καὶ Πολύφρων τε καὶ Λακράτης.

5. Ἀθηναίων δὲ στρατηγὸς μὲν Κάλλιππος ἦν ὁ Μοιροκλέους, καθὰ ἐδήλωσα καὶ ἐν τοῖς προτέροις τοῦ λόγου· δύναμις δὲ τριήρεις τε αἱ πλώιμοι[3] πᾶσαι, πεντακόσιοι δὲ ἐς τὸ ἱππικὸν, χίλιοι δὲ ἐτάσσοντο ἐν τοῖς πεζοῖς· καὶ ἡγεμονίαν οὗτοι κατ' ἀξίωμα εἶχον τὸ ἀρχαῖον. Βασιλέων δὲ ξενικὰ, πεντακόσιοί τε ἐκ Μακεδονίας, καὶ ἐκ τῆς Ἀσίας ἴσοι σφίσιν ἀφίκοντο ἀριθμόν· ἄρχοντες δὲ τῶν μὲν παρ' Ἀντιγόνου πεμφθέντων Ἀριστόδημος ἦν Μακεδὼν, τῶν δὲ παρὰ Ἀντιόχου τε καὶ ἐκ τῆς Ἀσίας Τελέσαρχος τῶν ἐπὶ Ὀρόντῃ Σύρων.

6. (Sylb., p. 647.) Τοῖς δὲ ἐς Θερμοπύλας ἀθροισθεῖσιν Ἑλλήνων, ὡς ἐπύθοντο περί τε Μαγνησίαν καὶ γῆν τὴν Φθιῶτιν ὄντα ἤδη τῶν Γαλατῶν τὸν στρατὸν, ἔδοξεν ἤδη ψιλούς τε ἐς χιλίους καὶ ἐς τὴν ἵππον[4] ἀπο-

1. *Sic* tous les mss. Schub., Walz et Dindorf ont écrit ἡγεῖτο d'après une conj. de Bœckh. Clavier proposait ἱππικοῦ. On croit que le nom du chef se cache dans le mot ἱππικόν, peut-être Ἵππων.

2. J.-H. Schub. croit ce passage mutilé et propose de le compléter ainsi : ἐνενήκοντα καὶ [ἑπτακόσιοι, πλέονες δὲ] ἑπτακισχιλίων ἀρ. ἦσαν οἱ ὁπλιτεύοντες. Brandstæter (*Ætol. Geschichte*, p. 188) soupçonne que μυρίων est tombé.

3. Aἱ ajouté par Dind., Schub., d'après une conjecture de Coray. — Palmerius (*Exercit.*, p. 438), s'étonnant que le nombre des vaisseaux ne soit pas indiqué, proposait d'écrire τριήρεις τ' ε' πλ. πᾶσαι.

4. Clavier, d'après Sylburg, propose καὶ ἴσην ἵππον ; Dind. garde la vulgate, Schubart met entre [ ] comme mot à effacer ou au moins

vint quatre cents hoplites avec de la cavalerie que conduisait Mégareus. L'armée des Ætôles était la plus nombreuse et propre à tous genres de combat. On ne dit pas combien ils avaient de chevaux, mais ils avaient quatre-vingt-dix (?) hommes de troupes légères, et leurs hoplites étaient au nombre de sept mille. Les Ætôles étaient conduits par Polyarchos, Polyphrôn et Lacratès[1].

5. Le stratège des Athèniens était Callippos, fils de Mœroclès, ainsi que je l'ai marqué au début de cet ouvrage. Leurs forces comprenaient toutes leurs *trières*[2] en état de naviguer, cinq cents hommes pour la cavalerie, et mille dans l'infanterie. Ils eurent le commandement en chef en considération de leurs titres anciens. Il vint aussi de quelques rois des troupes étrangères, cinq cents hommes de la Macédonie et pareil nombre de l'Asie. Le chef de celles qu'avait envoyées Antigone était Aristodème le Macédone ; celui des auxiliaires venus de chez Antiochos et de l'Asie, Télésarchos, un Syrien de l'Oronte.

6. Tous les Hellènes rassemblés aux Thermopyles, en apprenant que l'armée des Galates (Gaulois) était déjà aux environs de Magnèsie et de la Phthiôtide, jugèrent à propos de choisir un millier d'hommes légèrement armés, et de les envoyer avec leur cava-

1. Pausanias a dit plus haut, X, xv, 1, que les statues de *la plupart* des stratèges qui commandèrent les troupes des Ætôles contre les Gaulois furent consacrées par leurs concitoyens dans le temple de Delphes avec celles d'Artémis, d'Athèna et d'Apollon. Un peu plus loin, XVI, 4, il nomme, comme ayant eu une statue ainsi consacrée par la reconnaissance publique, le stratège Eurydamos qui n'est pas mentionné ici. On n'avait peut-être honoré de ce souvenir que ceux qui étaient morts dans la lutte.

2. Nom grec des galères appelées par les Romains *trirèmes*.

λέξαντας, ἀποστεῖλαι σφᾶς ἐπὶ τὸν Σπερχειὸν, ἵνα μηδὲ τὸν ποταμὸν διαβῆναι τοῖς βαρβάροις ἄνευ ἀγῶνός τε καὶ κινδύνων ἐγγένηται.

7. Οἱ δὲ ἐλθόντες τὰς γεφύρας τε καταλύουσι, καὶ αὐτοὶ παρὰ τὴν ὄχθην ἐστρατοπεδεύσαντο. Ἦν δὲ οὐδὲ ὁ Βρέννος οὔτε πάντα ἀσύνετος, οὔτε ἀπείρως εἶχεν, ὡς ἄν τις βάρβαρος, σοφίσματα ἐς πολεμίους ἐξευρεῖν. Εὐθὺς οὖν τῇ ἐπιούσῃ νυκτὶ οὐ, καθότι ἦν τὰ ἀρχαῖα τῷ ποταμῷ ζεύγματα, ἀλλὰ ἐς τὸ κάτω, ὡς μή τις τοῖς Ἕλλησι διαβαινόντων γένοιτο αἴσθησις, καὶ ᾗ μάλιστα ὁ Σπερχειὸς διεχεῖτο ἐς πλέον τοῦ πεδίου, καὶ ἕλος τε ἐποίει καὶ λίμνην ἀντὶ βιαίου καὶ στενοῦ ῥεύματος, κατὰ τοῦτο ὁ Βρέννος ὅσον μυρίους τῶν Γαλατῶν ἀπέστειλεν, ὁπόσοι τε νήχειν ἠπίσταντο ἐξ αὐτῶν, καὶ ὅστις τῷ μήκει τοῦ σώματος ἐτύγχανεν ὢν ὑπὲρ τοὺς πολλούς· εἰσὶ δὲ καὶ ἄλλως οἱ Κελτοὶ μακρῷ πάντας ὑπερῃρκότες μήκει [1] τοὺς ἀνθρώπους.

8. Οὗτοι μὲν οὖν διαβαίνουσιν ἐν τῇ νυκτὶ διανηχόμενοι ὧδε τὸ λιμνῶδες τοῦ ποταμοῦ· καὶ τὰ ὅπλα, τοὺς ἐπιχωρίους θυρεοὺς, ἐποιεῖτο ἕκαστος ἀντὶ σχεδίας· οἱ δὲ αὐτῶν μήκιστοι διελθεῖν ἐμβαδὸν τὸ ὕδωρ ἐδυνήθησαν. Οἱ δὲ Ἕλληνες οἱ ἐπὶ τῷ Σπερχειῷ (πυνθάνονται γὰρ, ὅτι κατὰ τὸ ἕλος διέβη μοῖρα τῶν βαρβάρων), αὐτίκα ἐς τὸ στράτευμα ἀναχωροῦσι.

douteux ἐς; c'était aussi l'avis de Facius. Amaseus semble avoir lu ἀρίστην; il traduit *et cum his* optimam *equitatus partem.*

1. μακρῷ..... μήκει. *Sic omnes.* Facius trouve ce pléonasme suspect; il voudrait écrire οἱ Κελτοὶ μακροὶ, πάντας..... Cette conjecture n'a pas été admise.

lerie vers le Spercheios, pour qu'il ne fût point possible aux barbares de le passer sans lutte et sans danger.

7. Ces soldats, en arrivant, rompirent les ponts et campèrent eux-mêmes le long de la rive. Mais Brennos n'était pas en tout sans intelligence, et, pour un barbare, il ne laissait pas d'être habile à trouver des artifices utiles contre ses ennemis. Ainsi dès l'entrée de la nuit, — ce n'est pas là où étaient primitivement les ponts sur le fleuve, c'est au dessous, pour que les Hellènes ne s'aperçussent point qu'on le passait, c'est surtout à l'endroit où le Spercheios se répandait le plus au loin dans la plaine et formait, au lieu de son cours violent et resserré, un marais et un étang, — c'est là que Brennos envoya environ dix mille de ses Galates (Gaulois), — ceux d'entre eux qui savaient nager, et se trouvaient avoir une taille au-dessus de l'ordinaire. Les Celtes, d'ailleurs, surpassent par la grandeur de leur taille tous les autres hommes.

8. Ils passèrent donc ainsi à la nage pendant la nuit le fleuve à l'endroit où il forme un étang, et chacun se faisait de son armure, — j'entends par là le bouclier du pays[1], — un radeau ; les plus grands purent même traverser l'eau en marchant. Les Hellènes, qui étaient [campés] sur le Spercheios, apprenant qu'une partie des barbares avait passé à travers les marais, se replièrent aussitôt vers le gros de l'armée.

1. Il faut se rappeler ce que Pausanias a dit plus haut, VIII, L, 1, et X, XIX, 4, des longs boucliers des Gaulois, qu'il compare aux *gerres* des Perses. — Cf. I, XII, 2, l'inscription placée sur les boucliers celtiques consacrés par Pyrrhos.

XXI, 1. Βρέννος δὲ τοῖς περὶ τὸν Μαλιακὸν κόλπον οἰκοῦσι ζευγνύναι τὸν Σπερχειὸν ἐπέτασσεν· οἱ δὲ ἤνυον τὸ ἔργον σπουδῇ, τῷ τε ἐκείνου δέει, καὶ ἀπελθεῖν ἐκ τῆς χώρας σφίσιν ἐπιθυμοῦντες τοὺς βαρβάρους, μηδὲ ἐπιπλέον κακουργεῖν μένοντας. Ὁ δὲ ὡς κατὰ τὰς γεφύρας διεβίβασε τὴν στρατιὰν, ἐχώρει πρὸς τὴν Ἡράκλειαν· καὶ διήρπασαν μὲν τὰ ἐκ τῆς χώρας [1] οἱ Γαλάται, καὶ ἀνθρώπους τοὺς ἐπὶ τῶν ἀγρῶν ἐγκαταληφθέντας ἐφόνευσαν· τὴν πόλιν δὲ οὐχ εἷλον. Ἔτει γὰρ πρότερον τούτων οἱ Αἰτωλοὶ συντελεῖν τοὺς Ἡρακλεώτας ἠνάγκασαν ἐς τὸ Αἰτωλικόν· τότε οὖν ἠμύνοντο ὡς περὶ πόλεως οὐδέν τι Ἡρακλεώταις μᾶλλον, ἢ καὶ αὐτοῖς προσηκούσης. Ἦν δὲ καὶ τῷ Βρέννῳ τὰ μὲν Ἡρακλεωτῶν ἐλάσσονος φροντίδος, ἀγώνισμα δὲ ἐποιεῖτο ἐξελάσαι τε ἐκ τῶν στενῶν [2] τοὺς ἀντικαθημένους, καὶ παρελθεῖν ἐς τὴν ἐντὸς Θερμοπυλῶν Ἑλλάδα.

(Sylb., p. 648.) Προελθὼν οὖν ἀπὸ τῆς Ἡρακλείας (ἐπυνθάνετο γὰρ παρὰ αὐτομόλων τοὺς συνειλεγμένους ἐς Πύλας ἀπὸ ἑκάστης πόλεως), ὑπερεφρόνει τε τοῦ Ἑλληνικοῦ, καὶ ἦρχεν ἐς τὴν ἐπιοῦσαν μάχης ἅμα ἀνίσχοντι τῷ ἡλίῳ, οὔτε Ἕλληνα ἔχων μάντιν, οὔτε ἱεροῖς ἐπιχωρίοις χρώμενος, εἰ δή ἐστί γε μαντεία Κελτική. Ἐνταῦθα οἱ Ἕλληνες ἐν σιγῇ τε ἐπήεσαν καὶ ἐν κόσμῳ· καὶ ὡς ἀφίκοντο ἐς χεῖρας, οὔτε [3] σφίσιν οἱ πεζοὶ τοσοῦτον ἀπὸ τῆς τάξεως ἐξέθεον, ὥστε τὴν φάλαγγα

1. *Vulg.* τὰ ἐς τῆς χ. Facius proposait de supprimer ἐς comme inutile ; la correction ἐκ était indiquée ; elle se trouve déjà dans Clavier.

2. Correction de Facius, d'après le ms. Mosc., généralement adoptée au lieu de τειχῶν.

3. Les anc. éditt. ὡδέ σφισιν, correct. de Kuhn. Clavier proposait οὐδε σφίσιν οἱ πελτασταί, mais Coray bien mieux οὔτε σφίσιν οἱ πεζ. τοσ.; il se rencontrait avec Kuhn.

XXI, 1. ..... Brennos enjoignit aux riverains du golfe Maliaque[1] de jeter des ponts sur le Spercheios : ils se hâtèrent de terminer cet ouvrage et par crainte de l'ennemi, et dans leur désir de voir les barbares s'en aller de leur pays et ne pas le maltraiter davantage en y restant. Et lui, ayant fait passer son armée sur ces ponts, il marcha vers Hèraclée. Et les Galates (Gaulois) pillèrent le pays et tuèrent les hommes qu'ils trouvèrent dans les campagnes; mais ils ne prirent pas la ville. Car, l'année d'auparavant, les Ætôles avaient forcé les Hèracléôtes de s'unir à la [ligue] Ætôlique, et alors ils défendirent la ville comme si elle n'était pas moins à eux qu'aux Hèracléôtes. Or Brennos se souciait peu des Hèracléôtes ; la grande affaire pour lui était de chasser des défilés ceux qui y étaient postés et d'entrer dans l'Hellade en deçà des Thermopyles.

S'étant donc porté en avant loin d'Hèraclée, — il avait appris de quelques transfuges quels étaient à Pyles les contingents de chaque cité, — il méprisa les forces hellèniques, et se prépara au combat pour le jour suivant au lever du soleil, sans avoir auprès de lui aucun devin hellène, sans recourir à des cérémonies de son pays, si tant est qu'il y ait un art divinatoire chez les Celtes. Alors les Hellènes en silence et en bon ordre allèrent [à l'ennemi][2]. Quand on fut à portée, leur infanterie ne se donna pas carrière au point de troubler sa propre phalange, et les troupes

1. V. plus haut la note de la page 139 sur les dénominations de golfe Maliaque ou Lamiaque.
2. An de R. 474, av. J.-C. 280.

ἐπιταράσσειν τὴν οἰκείαν· καὶ οἱ ψιλοὶ μένοντες κατὰ χώραν, τά τε ἀκόντια ἔπεμπον, καὶ ὅσα ἀπὸ τόξων ἢ σφενδονῶν.

2. Τὰ δὲ ἱππικὰ ἀμφοτέροις ἀχρεῖα ἐγένετο, ἅτε οὐ στενοῦ μόνον χωρίου τοῦ μετὰ τὰς Πύλας ὄντος, ἀλλὰ καὶ ὑπὸ αὐτοφυοῦς πέτρας λείου, καὶ διὰ τῶν ῥευμάτων τὸ συνεχὲς τὰ πλέονα καὶ ὀλισθηροῦ. Τοῖς δὲ Γαλάταις τὰ μὲν τῆς σκευῆς ἀσθενέστερα ἦν· θυρεοὺς γὰρ τοὺς ἐπιχωρίους εἶχον, καὶ ἄλλο σφίσιν οὐκ ἦν ὅπλον σκέπη σώματος· πλέον δὲ ἔτι ἐμπειρίᾳ τῇ ἐς τὰ πολεμικὰ ἀπέδεον.

3. Οἱ δὲ ἐν ὀργῇ τε ἐπὶ τοὺς ἐναντίους καὶ θυμῷ μετὰ οὐδενὸς λογισμοῦ, καθάπερ τὰ θηρία, ἐχώρουν· καὶ οὔτε πελέκεσι διαιρουμένους ἢ ὑπὸ μαχαιρῶν ἀπόνοια τοὺς ἔτι ἐμπνέοντας ἀπέλιπεν, οὔτε ὅσοι βέλεσι καὶ ἀκοντίοις διεπείροντο, ὑφῃροῦντο θυμοῦ, μέχρις οὖν παρέμενεν ἡ ψυχή· οἱ δὲ καὶ ἐκ τῶν τραυμάτων τὰ δόρατα, οἷς ἐβέβληντο, ἀνασπῶντες ἠφίεσάν τε ἐς τοὺς Ἕλληνας, καὶ ἐχρῶντο ἐκ χειρός.

4. Ἐν τούτῳ δὲ οἱ ἐπὶ τῶν τριήρων Ἀθηναῖοι μόγις μὲν καὶ οὐκ ἄνευ κινδύνου, παραπλεύσαντες δὲ ὅμως διὰ τῆς ἰλύος, ᾗ ἐπὶ πλεῖστον [1] ἐπέχει τῆς θαλάσσης, καὶ τὰς ναῦς ὅτι ἐγγύτατα τῶν βαρβάρων σχόντες, βέλεσί τε παντοίοις ἐς τὰ πλάγια καὶ τοξεύμασιν ἐς αὐτοὺς ἐχρῶντο. Καμνόντων δὲ λόγου μειζόνως τῶν Κελτῶν, καὶ ἅτε ἐν

1. Schub. d'après une conj. de Bekker; Dind. suit Schub., Walz, et écrit ᾗ ἐπὶ πλ.; le cod. Angel. donne ἐπὶ πλ.; deux mss. de Leyde ἐπιπλεῖστον. Tous les autres ἔπει πλ. que Facius explique en sous-entendant ἡ ἰλύς, *quia limus maximum maris spatium ibi occupat.*

légères, demeurant à leur place, envoyèrent des javelots et tous les projectiles qui se lancent avec l'arc ou la fronde.

2. Des deux côtés la cavalerie demeura sans emploi, non seulement à cause de l'étroitesse de l'espace qui avoisine les Thermopyles, mais aussi à cause de la nature des roches qui sont lisses et le plus souvent glissantes, grâce aux ruisseaux dont elles sont continuellement baignées. L'équipement des Galates (Gaulois) était plus faible; ils avaient le bouclier de leur pays, sans aucune autre arme défensive[1], et, en outre, ils étaient bien moins entendus aux choses de la guerre.

3. Avec colère, en furie, sans raisonnement ils marchaient contre leurs adversaires comme des bêtes sauvages. Et même pourfendus d'un coup de hache ou de sabre, leur folie, tant qu'ils respiraient, ne les quittait pas; percés de traits, de javelots, ils ne perdaient rien de leur fureur, tant que le souffle leur demeurait. Il y en eut qui, arrachant de leurs blessures les dards dont ils avaient été frappés, les lançaient contre les Hellènes, ou s'en servaient pour combattre de près.

4. Cependant ceux des Athéniens qui étaient sur les *trières*, ayant vogué vers la côte, à grand'peine et non sans danger à travers la vase dont la mer sur une grande étendue est obstruée, et tenant leurs navires le plus près possible des barbares, employaient contre eux, en les assaillant par le flanc, des projectiles de toute sorte et des flèches. Les Celtes, fatigués plus

1. Ce bouclier était très long. On a vu plus haut, ch. xx, 8, que les Gaulois s'en faisaient une espèce de radeau pour traverser les rivières.

στενοχωρίᾳ μικρὰ μὲν δρώντων, διπλάσια δὲ καὶ τετραπλάσια πασχόντων, ἀναχωρεῖν ἐς τὸ στρατόπεδον ἐσήμαινόν σφισιν ἡγεμόνες. Οἱ δὲ ἀτάκτως καὶ σὺν οὐδενὶ ἀναστρέφοντες κόσμῳ, πολλοὶ μὲν συνεπατήθησαν ὑπὸ ἀλλήλων (Sylb., p. 649), πολλοὶ δὲ ἐς τὸ τέλμα ἐμπεσόντες ἠφανίσθησαν κατὰ τοῦ πηλοῦ, καὶ ἀπώλεια οὐκ ἔλασσον ἀναχωροῦσιν αὐτοῖς, ἢ ἐν αὐτῇ ἀγῶνος συνέβη τῇ ἀκμῇ.

5. Τοὺς μὲν δὴ Ἕλληνας τὸ Ἀττικὸν ὑπερεβάλλετο ἀρετῇ τὴν ἡμέραν ταύτην· αὐτῶν δὲ Ἀθηναίων Κυδίας μάλιστα ἐγένετο ἀγαθὸς, νέος τε ἡλικίαν, καὶ τότε ἐς ἀγῶνα ἐλθὼν πολέμου πρῶτον. Ἀποθανόντος δὲ ὑπὸ τῶν Γαλατῶν, τὴν ἀσπίδα οἱ προσήκοντες ἀνέθεσαν τῷ Ἐλευθερίῳ Διί, καὶ ἦν τὸ ἐπίγραμμα·

Ἦ μάλα[1] δὴ ποθέουσα νέαν ἔτι Κυδίου ἥβην
ἀσπὶς ἀριζήλου φωτὸς, ἄγαλμα Διί,
ἇς διὰ δὴ πρώτας λαιόν ποτε[2] πῆχυν ἔτεινεν,
εὖτ' ἐπὶ τὸν Γαλάταν ἤκμασε θοῦρος Ἄρης[3].

6. Τοῦτο μὲν δὴ ἐπεγέγραπτο, πρὶν ἢ τοὺς ὁμοῦ Σύλλᾳ καὶ ἄλλα τῶν Ἀθήνησι, καὶ τὰς ἐν τῇ στοᾷ τοῦ Ἐλευθερίου Διὸς καθελεῖν ἀσπίδας. Τότε δὲ ἐν ταῖς Θερμοπύλαις οἱ μὲν Ἕλληνες μετὰ τὴν μάχην τούς τε αὐτῶν ἔθαπτον, καὶ ἐσκύλευον τοὺς βαρβάρους. Οἱ Γαλάται δὲ οὔτε ὑπὲρ ἀναιρέσεως τῶν νεκρῶν ἐπεκηρυκεύοντο, ἐποι-

1. Schub., d'après Jacobs, Ἦμαι δὴ. — Le Mosc. ἦ μαρδαλη ; le cod. Angel. ἦ μαρλαδ' η ποθέουσα (*sic*) ; deux mss. de Leyde ἦ μαρλαδιη (?). — V. notre append. à l'Ant. Palat., éd. Didot.

2. *Sic* toutes les éditt. Schub., d'après Spengel, λαιὸν τότε.

3. Bergk, *Epist. grat. ad Creuzer.*, p. 17 : Εὖτ' ἐπὶ τὸν Γαλατὰν ἤχμασε θοῦρον Ἄρη.

qu'on ne peut le dire, et dans un terrain si étroit faisant peu de chose et souffrant deux et quatre fois plus, reçurent de leurs chefs le signal de se replier sur leur camp. Comme ils se retiraient à la débandade et sans aucun ordre, un grand nombre s'écrasèrent les uns les autres, un grand nombre aussi, tombant dans les marécages, disparurent sous la boue[1], et ils ne perdirent pas moins de monde dans cette retraite qu'ils n'avaient fait au plus fort de la lutte.

5. En cette journée, l'armée attique surpassa par son courage les autres Hellènes, et parmi les Athèniens mêmes le plus brave fut Cydias, tout jeune d'âge, et abordant alors pour la première fois les luttes de la guerre. Il fut tué par les Galates (Gaulois) et ses proches consacrèrent à Zeus Éleuthérios[2] son bouclier avec cette inscription :

Certes il regrette encore la fraîche jeunesse de Cydias,
ce bouclier d'un homme illustre, offrande faite à Zeus :
le premier sous lequel il avait passé son coude gauche
lorsque contre le Galate sévissait le fougueux Arès.

6. Cette inscription existait avant que les gens de Sylla eussent enlevé, entre autres choses qui étaient à Athènes, les boucliers du portique de Zeus Eleuthérios. Alors, aux Thermopyles, les Hellènes, après le combat, ensevelirent leurs morts et dépouillèrent les barbares. Les Galates ne firent pas demander par un héraut la permission d'enlever leurs cadavres : il leur était bien

1. Cf. sur ces marécages où s'engloutit une partie de l'armée gauloise, Pausanias lui-même, plus haut, I, IV, 3, p. 138-139, et ch. XX, 7-8, p. 170-171 ; et plus bas, XXI, 7, p. 178-179.

2. Jupiter libérateur.

οῦντό τε ἐπίσης, γῆς σφᾶς τυχεῖν ἢ θηρία τε αὐτῶν ἐμφορηθῆναι, καὶ ὅσον τεθνεῶσι πολέμιόν ἐστιν ὀρνίθων.

7. Ὀλιγώρως δὲ αὐτοὺς ἐς τῶν ἀπογινομένων ἔχειν τὰς ταφὰς, δύο (ἐμοὶ δοκεῖν) τὰ ἀναπείθοντα ἦν, πολεμίους τε ἄνδρας ἐκπλήξασθαι, καὶ ὅτι ἐστὶ τεθνεώτων οὐ δι'[1] ἔθους οἶκτος αὐτοῖς. Ἀπέθανον δὲ παρὰ τὴν μάχην τεσσαράκοντα μὲν τοῦ Ἑλληνικοῦ, τοὺς δὲ τῶν βαρβάρων οὐχ οἷόν τε ἦν ἀκριβῶς ἐξευρεῖν · πολὺ γὰρ καὶ τὸ ἀφανισθὲν κατὰ τῆς ἰλύος ἐγένετο ἐξ αὐτῶν.

XXII, 1. Ἑβδόμῃ δὲ ὕστερον μετὰ τὴν μάχην λόχος τῶν Γαλατῶν ἀνελθεῖν ἐς τὴν Οἴτην ἐπεχείρησε κατὰ Ἡράκλειαν · ἀτραπὸς δὲ στενὴ καὶ κατ' αὐτὰ ἀνάντης τὰ ἐρείπια[2] ἀνήκει τὰ Τραχῖνος · ἦν δὲ καὶ ἱερὸν Ἀθηνᾶς τότε ὑπὲρ ** τῆς Τραχινίδος, καὶ ἀναθήματα ἐν αὐτῷ · ἔς τε οὖν τὴν Οἴτην ἀναβήσεσθαι κατὰ τὴν ἀτραπὸν ἤλπιζον, καὶ ἅμα προσέσεσθαί σφισιν ἐν παρέργῳ τὰ ἐκ τοῦ ἱεροῦ***[3]. Τὴν δὲ φρουρὰν οἱ ἔχοντες ἡγουμένου Τελεσάρχου νικῶσι μὲν τοὺς βαρβάρους τῇ μάχῃ, αὐτὸς δὲ ἔπεσεν ὁ Τελέσαρχος, ἀνήρ, εἴπερ τις καὶ ἄλλος, πρόθυμος ἐς τὰ Ἑλλήνων.

1. Le Moscuensis οὐδὲ ἔθος, qui peut à la rigueur s'expliquer ; littér. : « et parce que la pitié des morts (c.-à-d. envers les morts) n'est pas une habitude pour eux. » Camerarius et Sylburg ont proposé οὐ δι' ἔθους qui a été généralement admis.

2. Sylb. στενὴ καὶ ταύτῃ ; éditt. anc. et mss. στενὴ καὶ ταύτης ; Clav., Siebel. et les éditt. suiv. στενὴ καὶ ἀνάντης. — Plus loin nous donnons κατ' αὐτὰ, leçon de Dindorf et Bekker ; les mss. portent μετὰ ταῦτα, d'où Schub. et Valz. ont tiré μετ' αὐτὰ.

3. Texte altéré ; il manque au moins un mot ; on propose πόλεως. — La suite n'est pas moins mutilée ; les mss. donnent τὴν φρουρὰν οιομενου Τελεσάρχῳ, leçon reproduite dans Dindorf et Schubart. Nous avons conservé l'ancienne restitution qui remonte à Sylburg.

égal qu'on donnât à ces cadavres un peu de terre ou que s'en repussent les bêtes sauvages et ceux des oiseaux qui font la guerre aux morts.

7. Cette insouciance de la sépulture à donner à ceux qui ne sont plus leur était inspirée par deux raisons : étonner leurs ennemis et suivre la coutume établie parmi eux de n'avoir pas pitié des morts[1]. Il mourut dans ce combat quarante hommes de la nation hellénique. Quant aux barbares, il n'a pas été possible de se renseigner exactement sur leurs pertes, car le nombre fut grand de ceux qui disparurent dans la vase [des marais].

XXII, 1. ..... Le septième jour après le combat, un détachement de Galates (Gaulois) entreprit de monter sur l'Œta par Hèraclée. Le sentier étroit et escarpé s'élève près des ruines mêmes de Trachine[2] : il y avait alors au-dessus[3] un temple d'Athènâ Trachinide, et dans ce temple des offrandes. Les barbares espéraient arriver sur l'Œta par ce sentier, et du même coup s'approprier en passant ce qu'ils tireraient du temple. La garde du passage était confiée à Télésarchos et à ses hommes[4] : ils vainquirent les barbares ; mais dans le combat périt Télésarchos, homme dévoué, s'il en fut, à la cause des Hellènes.

1. Je ne me rappelle pas avoir vu mentionné ailleurs ce peu de respect des Gaulois pour les morts ; ce que dit Pausanias est même contredit par ce que nous apprend Cæsar, *G. G.*, VI, 19, des cérémonies usitées chez eux dans les funérailles.

2. V. plus bas, § 8, p. 184-185.

3. De ces ruines (?).

4. Télésarchos (v. plus haut, XX, 5) commandait les troupes envoyées par Antiochos.

2. (Sylb., p. 650.) Οἱ μὲν ἡγεμόνες τῶν βαρβάρων οἱ ἄλλοι κατεπεπλήγεσαν τὸ Ἑλληνικὸν, καὶ ἠπόρουν ἅμα ὑπὲρ τῶν μελλόντων, ἐς οὐδέν σφισι πλέον προχωροῦντα ὁρῶντες τὰ ἐν χερσί. Τῷ δὲ Βρέννῳ λογισμὸς παρίστατο, ὡς, εἰ ἀναγκάσει τοὺς Αἰτωλοὺς οἴκαδε ἐς τὴν Αἰτωλίαν ἀναχωρῆσαι, ῥᾴων ἤδη γενήσοιτο ὁ πόλεμος αὐτῷ πρὸς τὸ Ἑλληνικόν. Ἀπολέξας οὖν τῆς στρατιᾶς μυριάδας τοὺς πεζοὺς[1] τέσσαρας, καὶ ὅσον ὀκτακοσίους ἱππέας, Ὀρεστόριόν τε αὐτοῖς καὶ Κόμβουτιν ἐφίστησιν ἄρχοντας.

3. Οἳ ὀπίσω κατὰ τοῦ Σπερχειοῦ τὰς γεφύρας, καὶ αὖθις διὰ Θεσσαλίας ὁδεύσαντες ἐμβάλλουσιν ἐς τὴν Αἰτωλίαν· καὶ τὰ ἐς Καλλιέας Κόμβουτις οἱ ἐργασάμενοι καὶ Ὀρεστόριος ἦσαν, ἀνοσιώτατά τε, ὧν ἀκοῇ ἐπιστάμεθα, καὶ οὐδὲν τοῖς ἀνθρώπων τολμήμασιν ὅμοια. Γένος μέν γε πᾶν ἐξέκοψαν τὸ ἄρσεν, καὶ ὁμοίως γέροντάς τε καὶ τὰ νήπια ἐπὶ τῶν μητέρων τοῖς μαστοῖς ἐφονεύετο· τούτων δὲ καὶ τὰ ὑπὸ τοῦ γάλακτος πιότερα ἀποκτείνοντες, ἔπινόν τε οἱ Γαλάται τοῦ αἵματος, καὶ ἥπτοντο τῶν σαρκῶν.

4. Γυναῖκες δὲ καὶ ὅσαι[2] ἐν ὥρᾳ τῶν παρθένων, ὅσαι μὲν φρονήματός τι αὐτῶν εἶχον, ἑαυτὰς ἔφθησαν, ὡς ἡλίσκετο ἡ πόλις, διειργασμέναι· τὰς δὲ ἔτι περιούσας ἐς ἰδέαν ὕβρεως πᾶσαν μετὰ ἀνάγκης ἦγον ἰσχυρᾶς, ἅτε ἶσον μὲν ἐλέου, ἶσον δὲ τὰς φύσεις καὶ ἔρωτος ἀπέχοντες· καὶ ὅσαι μὲν τῶν γυναικῶν ταῖς μαχαίραις τῶν Γαλατῶν ἐπετύγχανον, αὐτοχειρίᾳ τὰς ψυχὰς ἠφίεσαν· ταῖς δὲ

1. Sylb. préfère τῆς πεζῆς.
2. Anc. éditt. ὅσα, corrigé par Facius.

2. Les autres chefs des barbares étaient fortement frappés de la valeur hellènique et bien embarrassés pour l'avenir, en voyant que dans le présent rien ne leur réussissait. Mais Brennos fit ce raisonnement : s'il forçait les Ætôles à se retirer chez eux, en Ætôlie, la guerre dès lors lui deviendrait plus facile contre les Hellènes. Ayant donc choisi dans son armée quatre myriades de fantassins, et environ huit cents cavaliers, il mit à leur tête pour les commander Orestorios et Combutis.

3. Ceux-ci rétrogradèrent jusqu'aux ponts du Spercheios, le passèrent et, ayant fait route à travers la Thessalie, se jetèrent dans l'Ætôlie. Ce furent ce Combutis et cet Orestorios qui firent aux Calliens un mal dont l'impiété dépasse tout ce que nous avons jamais ouï dire et n'a pas eu sa pareille dans les plus grands attentats : ils massacrèrent tout ce qui était du sexe masculin ; vieillards et tout petits enfants aux mamelles de leur mère furent pareillement égorgés ; et ceux d'entre eux que le lait avait le plus engraissés, les Galates qui les tuaient en buvaient le sang et goûtaient de ces chairs.

4. Les femmes et celles des filles qui étaient à l'âge nubile, celles-là du moins qui avaient quelque sentiment de fierté, dès que la ville fut prise, prévinrent leur sort en se tuant elles-mêmes. Celles qui restaient, les barbares, par une contrainte violente, les soumirent à toutes sortes d'outrages en gens qui, de leur nature, étaient également étrangers à la pitié et à l'amour. De ces femmes celles qui pouvaient se saisir des épées de ces Galates rendaient l'âme en se frappant elles-mêmes. Le moment fatal devait sans

οὐ μετὰ πολὺ ὑπάρξειν[1] τὸ χρεὼν ἔμελλεν ἥ τε ἀσιτία καὶ ἡ ἀϋπνία, ἀστόργων[2] βαρβάρων ἐκ διαδοχῆς ἀλλήλοις ὑβριζόντων· οἱ δὲ καὶ ἀφιείσαις τὰς ψυχάς, οἱ δὲ καὶ ἤδη νεκραῖς συνεγίνοντο ὅμως.

5. Αἰτωλοὶ δὲ πεπυσμένοι τε παρὰ ἀγγέλων ἦσαν, ὁποῖαι σφᾶς κατειλήφεσαν συμφοραί, καὶ αὐτίκα, ὡς τάχους εἶχον, ἀναστήσαντες ἀπὸ τῶν Θερμοπυλῶν τὴν δύναμιν, ἠπείγοντο ἐς τὴν Αἰτωλίαν, τά τε παθήματα τῶν Καλλιέων ἐν ὀργῇ ποιούμενοι, καὶ πλέον ἔτι τὰς οὐχ ἑαλωκυίας πω διασώσασθαι πόλεις προθυμούμενοι. Ἐξεστρατεύοντο δὲ καὶ οἴκοθεν ἀπὸ τῶν πόλεων πασῶν οἱ ἐν ἡλικίᾳ· ἀναμεμιγμένοι δ' ἦσαν ὑπὸ ἀνάγκης τε καὶ φρονήματος καὶ οἱ γεγηρακότες· συνεστρατεύοντο δέ σφισι καὶ αἱ γυναῖκες ἑκουσίως, πλέον ἐς τοὺς Γαλάτας καὶ τῶν ἀνδρῶν τῷ θυμῷ χρώμεναι.

6. (Sylb., p. 651.) Ὡς δὲ οἱ βάρβαροι συλήσαντες τούς τε οἴκους καὶ τὰ ἱερά, καὶ ἐνέντες πῦρ ἐς τὸ Κάλλιον, ἐκομίζοντο[3] τὴν αὐτήν, ἐνταῦθα Πατρεῖς μὲν ἐπικουροῦντες Αἰτωλοῖς Ἀχαιῶν μόνοι, προσέκειντο ἐξεναντίας τοῖς βαρβάροις, ἅτε ὁπλιτεύειν δεδιδαγμένοι· καὶ ὑπὸ πλήθους τε τῶν Γαλατῶν, καὶ τῆς ἐς τὰ ἔργα ἀπονοίας μάλιστα ἐταλαιπώρησαν. Οἱ δὲ Αἰτωλοὶ καὶ αἱ γυναῖκες αἱ Αἰτωλαὶ παρὰ πᾶσαν τεταγμένοι τὴν ὁδόν, ἐσηκόντιζόν τε ἐς τοὺς βαρβάρους, καὶ οὐδὲν ἄλλο ὅτι μὴ τοὺς ἐπιχωρίους ἐχόντων θυρεούς, ὀλίγα αὐτῶν ἡμάρτανον· διώκοντάς τε ἀπέφευγον οὐ χαλεπῶς καὶ ἀναστρέφουσιν ἀπὸ τῆς διώξεως ἐπέκειντο αὖθις σπουδῇ.

1. Clavier παρέξειν, en note ὑπάρξειν.
2. Le Mosc. ἀστέγων. V. la note de Facius.
3. Conject. de Coray ἀνεκομίζοντο.

beaucoup tarder venir pour les autres par le manque de nourriture ou le manque de sommeil, ces barbares impitoyables se succédant les uns aux autres pour les outrager. Quelques-uns même s'unissaient à celles qui rendaient l'âme ou même qui étaient déjà mortes.

5. Les Ætôles, informés par des envoyés des calamités qui les avaient frappés, emmenèrent aussi vite qu'ils purent leur armée des Thermopyles et se précipitèrent vers l'Ætôlie, s'irritant des malheurs des Calliens, mais désirant plus encore sauver les villes qui n'avaient pas encore été prises. Dans toutes les villes, quittant leurs maisons, s'armèrent ceux qui étaient en âge, et l'on vit se mêler à eux, par nécessité et par fierté d'âme, même des hommes arrivés à la vieillesse. Avec eux s'armèrent aussi les femmes, et de bon gré, et montrant contre les Galates plus de fureur même que les hommes.

6. Les barbares, ayant pillé les maisons et les temples, et mis le feu à la ville de Callium, en emportaient les dépouilles. Alors les Patréens venant au secours des Ætôles, seuls de tous les *Achæi*, se portèrent à la rencontre des barbares, en hommes bien instruits au métier d'hoplites. En raison de la multitude des Galates et de leur furie dans l'action, ils eurent extrêmement à souffrir. Mais les Ætôles et leurs femmes, rangés tout le long de la route, lançaient des dards sur les barbares, qui n'avaient [pour se couvrir] que le bouclier de leur pays[1]. Aussi, peu de traits portaient-ils à faux. Etait-on poursuivi par eux, on les évitait sans peine ; cessaient-ils leur poursuite, on tombait de nouveau sur eux, et vivement.

1. Sur ces boucliers des Gaulois, v. pl. haut la note de la page 171.

7. Καλλιεῦσι δὲ καὶ περ δεινὰ οὕτω παθοῦσιν, ὡς μηδὲ τὰ ὑπὸ Ὁμήρου πεποιημένα ἔς τε Λαιστρυγόνας καὶ ἐς Κύκλωπα ἐκτὸς εἶναι δοκεῖν ἀληθείας, ὅμως κατὰ τὴν ἀξίαν ἐγένετο [1] ἡ ὑπὲρ αὐτῶν δίκη· ἀπὸ γὰρ τεσσάρων μυριάδων προσόντων σφίσι καὶ ὀκτακοσίων ἐλάσσονες ἡμίσεων ἐς τὸ στρατόπεδον οἱ βάρβαροι τὸ πρὸς Θερμοπύλαις ἀπεσώθησαν.

8. Περὶ δὲ τοὺς Ἕλληνας ἐν αὐτῷ χρόνῳ τοὺς ἐν Θερμοπύλαις συνέβαινεν ἄλλα τοιαῦτα. Ἀτραπός ἐστι διὰ τοῦ ὄρους τῆς Οἴτης, μία μὲν ἡ ὑπὲρ Τραχῖνος, ἀπότομός τε τὰ πλείω καὶ ὄρθιος δεινῶς· ἑτέρα δὲ ἡ διὰ τῆς Αἰνειάνων [2] ὁδεῦσαι στρατῷ ῥᾴων, δι' ἧς καὶ Ὑδάρνης ποτὲ Μῆδος κατὰ νώτου τοῖς περὶ Λεωνίδην ἐπέθετο Ἕλλησι.

9. Κατὰ ταύτην τὴν ὁδὸν ἐπηγγέλλοντο ἄξειν Βρέννον οἱ Ἡρακλεῶται καὶ οἱ Αἰνειᾶνες, οὐ κακονοίᾳ τῇ ἐς τὸ Ἑλληνικόν, τοὺς δὲ Κελτοὺς ἐκ τῆς χώρας σφίσιν ἀπελθεῖν, μηδὲ ἐγκαθημένους φθεῖραι [3] περὶ πολλοῦ ποιούμενοι. Καί μοι φαίνεται Πίνδαρος ἀληθῆ καὶ ἐν τῷδε εἰπεῖν, ὃς πάντα τινὰ ὑπὸ κακῶν οἰκείων ἔφη πιέζεσθαι, ἐπὶ δὲ ἀλλοτρίοις κήδεσιν ἀπήματον [4] εἶναι.

10. Τότε δὲ ἡ τῶν Αἰνειάνων καὶ ἡ τῶν Ἡρακλεωτῶν

1. Le Mosc. ἐγίνετο.
2. Le même ms. ici et partout Αἰτίαν., forme adoptée par Estienne.
3. Le Mosc. φθείρειν.
4. Anc. leçon εὐπήματον ; correct. déjà indiquée par Kuhn, d'après Pindare lui-même :

τὸ γὰρ οἰκεῖον πιέζει
πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων καρδία
κᾶδος ἀμφ' ἀλλότριον.....

7. Et, bien que les Calliens aient souffert des atrocités telles que les fictions d'Homère sur les Læstrigons et le Cyclôpe[1] ne paraissent plus en dehors de la vérité, ils furent du moins dignement vengés. Et, en effet, de quatre myriades et huit cents hommes qu'étaient contre eux ces barbares, il s'en sauva moins de la moitié dans leur camp des Thermopyles.

8. Quant aux Hellènes qui dans le même temps étaient aux Thermopyles, voici ce qui leur arrivait : il y a à travers le mont Œta un sentier, celui qui passe au-dessus de Trachine ; il est escarpé dans sa plus grande partie et terriblement raide. Il y en a un autre par le pays des Æniânes, plus aisé pour une armée en marche. C'est par là que jadis le Mède Hydarnès prit à dos les Hellènes de Léonidas.

9. C'est aussi par cette route que les Hèracléôtes et les Æniânes s'engagèrent à conduire Brennos, non par mauvais vouloir envers les Hellènes, mais dans leur désir de voir les Celtes s'en aller de leur pays, au lieu de s'y établir pour le ruiner, chose pour eux de grande importance[2]. Et Pindare[3] me semble être dans le vrai quand il dit que chacun est écrasé par ses propres maux, mais que les soucis d'autrui ne le tourmentent guère.

10. Alors la promesse des Æniânes et des Hèra-

1. *Odyss.*, K 119 et 199 ; *ibid.*, I, 288 et ss.

2. Sur ce point Pausanias est encore peu d'accord avec lui-même. Au livre I, IV, 2, il ne parle pas du rôle égoïste des Hèracléôtes et des Æniânes ; il dit simplement que « les Celtes découvrirent le sentier par où autrefois Ephialtès de Trachine avait guidé les Mèdes..... »

3. *Ném.*, I, 82-84.

ὑπόσχεσις ἐπήγειρε τὸν Βρέννον · καὶ Ἀκιχώριον μὲν κατέλιπεν ἐπὶ τῇ στρατιᾷ, προειπὼν, ἐπειδὰν περιλάβωσιν αὐτοὶ τὸ Ἑλληνικὸν, τηνικαῦτα καὶ ἐκείνοις ἐφόδου καιρὸν εἶναι · ἀπολέξας δὲ αὐτὸς μυριάδας τοῦ στρατοῦ τέσσαρας, ἐποιεῖτο τὴν ὁδὸν διὰ τῆς ἀτραποῦ.

11. (Sylb., p. 652.) Καί πως ἐπ' ἐκείνης συνέβαινε τῆς ἡμέρας, τήν τε ὁμίχλην κατὰ τοῦ ὄρους καταχεῖσθαι πολλὴν καὶ ἀμαυρὸν ἀπ' αὐτῆς εἶναι τὸν ἥλιον, ὥστε τῶν Φωκέων τοῖς ἔχουσιν ἐπὶ τῇ ἀτραπῷ τὴν φρουρὰν οὐ πρότερον ἐπιόντες οἱ βάρβαροι παρέσχοντο αἴσθησιν, πρινὴ πλησίον ἐγεγόνεσαν[1]. Ἐνταῦθα δὲ οἱ μὲν μάχης ἦρχον, οἱ δὲ ἠμύνοντο ἐρρωμένως, τέλος δὲ ἐβιάσθησαν, καὶ ἀναχωροῦσιν ἀπὸ τῆς ἀτραποῦ · καταδραμόντες μέν τοι παρὰ τοὺς συμμάχους καὶ ἀπαγγείλαντες τὰ παρόντα ἔφθησαν, πρινὴ ἀκριβῆ καὶ πανταχόθεν τελέαν γενέσθαι τοῦ Ἑλληνικοῦ τὴν κύκλωσιν.

12. Ἔνθα δὴ οἱ ἐπὶ τῶν τριήρων Ἀθηναῖοι φθάνουσιν ὑπεξαγαγόντες ἐκ τῶν Θερμοπυλῶν τὸ Ἑλληνικόν · καὶ οἱ μὲν κατὰ τὰς πατρίδας ἕκαστοι τὰς αὐτῶν ἐσκεδάσθησαν.

XXIII, 1. Ὁ δὲ Βρέννος οὐδένα ἔτι ἐπισχὼν χρόνον, πρινὴ τοὺς ἀπὸ τοῦ στρατοπέδου τοῦ σὺν τῷ Ἀκιχωρίῳ παραγενέσθαι, τὴν ὁδὸν ἐποιεῖτο ἐπὶ τοὺς Δελφούς. Οἱ δὲ καταφεύγουσιν ὑπὸ δείματος ἐπὶ τὸ χρηστήριον · καὶ ὁ θεὸς σφᾶς οὐκ εἴα φοβεῖσθαι, φυλάξειν δὲ αὐτὸς ἐπηγγέλλετο τὰ ἑαυτοῦ. Οἱ δὲ ἀφικόμενοι τιμωρεῖν τῷ θεῷ, τοσοίδε ἐγένοντο Ἑλλήνων · Φωκεῖς μὲν ἀπὸ τῶν πόλεων πασῶν, ἐκ δὲ Ἀμφίσσης ὁπλῖται τετρακόσιοι · παρὰ δὲ Αἰτωλῶν ὀλίγοι μέν τινες αὐτίκα, ὅτε ἐπύθοντο ἐς τὸ πρόσω χωροῦντας τοὺς βαρβάρους · διακοσίους δὲ καὶ χιλίους Φιλόμηλος ἤγαγεν ὕστερον. Τὸ δὲ μάλιστα ἐν

1. Cf. Pausan., I, IV, 2, *supr.*, p. 136-137.

cléôtes réveilla l'esprit de Brennos : il laissa Acichôrios avec son armée, en lui disant que, lorsqu'il aurait enveloppé les Hellènes, ce serait pour lui le moment de les attaquer. Ayant donc pris quatre myriades de soldats d'élite, il se mit en route par ce sentier.

11. Or, il arriva que ce jour-là une brume épaisse se répandit sur la montagne et que le soleil en fut tellement obscurci que ceux des Phôcéens qui avaient la garde du sentier ne s'aperçurent point de la marche des barbares avant leur arrivée près d'eux. Alors les uns se mirent bien au combat ; les autres se défendirent vaillamment ; mais enfin ils furent forcés, et se retirèrent du sentier. Cependant ils coururent vers leurs alliés, et ils arrivèrent à temps pour leur annoncer ce qui se passait, avant l'investissement complet des Hellènes.

τιμιώτανα ἐς τὰ λασιώτατα τῶν ὀρῶν[1] ἀνασκευασάμενοι, πολὺ πλείω τοὺς προσμίξαντάς σφισι τῶν Ῥωμαίων ἐκάκωσαν ἢ αὐτοὶ ἔπαθον. Ἐπεχείρησε μὲν γὰρ ὁ Καῖσαρ καὶ ἐς αὐτὰ τὰ ὄρη τὴν ὕλην τέμνων προχωρῆσαι, ἀπειπὼν δὲ διά τε τὸ μέγεθος αὐτῶν καὶ διὰ τὸ πρὸς χειμῶνα εἶναι, ἀπανέστη.

XLV. Ἔτι δ' αὐτοῦ ἐν τῇ Οὐενετίᾳ[2] ὄντος, Κύιντος Τιτούριος Σαβῖνος ὑποστράτηγός τε ἐστάλη ἐπὶ Οὐνέλλους, ὧν ἡγεῖτο Οὐιριδουίξ[3], καὶ τὰ μὲν πρῶτα καὶ πάνυ τὸ πλῆθος αὐτῶν κατεπλάγη, ὥστ' ἀγαπᾶν ἂν τό γε ἔρυμα διασώσηται· ἔπειτα δὲ αἰσθόμενός σφας θρασύτερον μὲν ἀπὸ τούτου διακειμένους, οὐ μὴν καὶ τῷ ἔργῳ δεινοὺς ὄντας, οἷά που οἱ πολλοὶ τῶν βαρβάρων ἐν ταῖς ἀπειλαῖς πᾶν τὸ φοβερὸν διὰ κενῆς ἐπικομποῦσιν, ἀνεθάρσησε. Καὶ ἐκ μὲν τοῦ προφανοῦς οὐδ' οὕτως ἐτόλμησέ σφισι συνενεχθῆναι· τῷ γὰρ πλήθει πολὺ κατείργετο· πρὸς δὲ δὴ τὸ τάφρευμα τὸ ἑαυτοῦ, μετεώρου τοῦ χωρίου ὄντος, ὑπηγάγετο αὐτοὺς ἀπερισκέπτως προσβαλεῖν. Τῶν γὰρ συμμάχων τινὰ ὁμοφωνοῦντά σφισιν ὑπὸ τὴν ἑσπέραν ὡς αὐτόμολον πέμψας[4], ἔπεισεν αὐτοὺς ὅτι ὁ Καῖσαρ ἐπταικὼς

1. Cæsar ne parle pas de montagnes, mais de marais; il n'y a pas de montagnes, en effet, dans les pays des Morins et des Ménapes, qui correspondent, le premier, au nord des départements du Nord et du Pas-de-Calais, à la Flandre occidentale et à une partie de la Zélande, le second, au Brabant méridional et à la Flandre orientale.

2. *Venetia* dans Cæsar, l. c., III, IX.

3. Cæsar, l. c., XVII-XVIII, Viridovix. Ce nom est tronqué dans les mss. de Dion : Ἰδουίξ.

4. Cæsar, l. c., XVIII : Hac confirmata opinione timoris, idoneum quemdam hominem et callidum delegit Gallum, ex iis quos auxilii causa secum habebat..... Qui ubi pro profuga ad eos venit, timorem Romanorum proponit; quibus angustiis ipse Cæsar a Venetis prematur, docet, etc.

villes, mais vivant dans des cabanes, déménagèrent ce qu'ils avaient de plus précieux dans les bois les plus touffus de leurs montagnes[1], et firent à ceux des Romains qui les joignirent bien plus de mal qu'ils n'en souffrirent. Cæsar entreprit d'avancer dans ces montagnes mêmes en coupant les forêts, mais rebuté par leur grandeur et par l'approche de l'hiver, il se retira[2].

XLV. Il était encore dans la Vénétie, lorsque Quintus Titurius Sabinus, qui commandait sous lui, fut envoyé contre les Unelles dont le chef était Viridovix. Sabinus fut d'abord si complètement terrifié par leur multitude qu'il se trouvait content s'il pouvait sauver son camp. Mais ensuite s'étant aperçu que par là il donnait une excessive confiance à ce peuple qui en réalité n'était pas redoutable, — car la plupart des barbares, pour faire peur, mettent dans leurs menaces une vaine jactance, — il reprit courage. Toutefois, même en ces dispositions, il n'osa pas en venir ouvertement aux mains avec eux, — il était grandement gêné par leur multitude ; — mais il les amena à l'attaquer inconsidérément dans ses retranchements qui occupaient une hauteur. Un de ses alliés parlait la même langue ; il le leur envoya le soir comme transfuge, et par cet intermédiaire, il leur persuada que Cæsar avait essuyé

1. Cæsar, l. c., XXVIII ..... continentes *silvas ac paludes* habebant, eo se suaque omnia contulerunt.

2. Dion, dans ce chap., résume les ch. 28-29 du *Comment.* III : ..... ejusmodi sunt tempestates consecutæ, uti opus necessario intermitteretur, et continuatione imbrium diutius sub pellibus milites contineri non possent.

εἴη. Καὶ οὕτω πιστεύσαντες ἀπερισκέπτως ἐκεῖνοι, πάνυ γάρ τι διακορεῖς καὶ τῆς τροφῆς καὶ τοῦ ποτοῦ ἦσαν[1], εὐθὺς ἐπὶ τοὺς Ῥωμαίους, μὴ καὶ φθάσωσί σφας φυγόντες, ὥρμησαν, καὶ ἔδει γὰρ μηδὲ πυρφόρον τῷ λόγῳ αὐτῶν σωθῆναι, φρύγανα καὶ ξύλα τὰ μὲν ἀράμενοι, τὰ δὲ ἐφελκόμενοι ὡς καὶ καταπρήσοντες[2] αὐτούς, (Leuncl., p. 112) πρός τε τὸ ὄρθιον προσέβαλον καὶ σπουδῇ προσανέβαινον, μηδενός σφισιν ἐναντιουμένου· ὁ γὰρ Σαβῖνος οὐκ ἐκινήθη πρὶν ἐντὸς τῆς ἐπικρατείας αὐτοῦ τοὺς πλείους αὐτῶν γενέσθαι. Τότε δὲ ἐπικατέδραμέ σφισιν ἁπανταχόθεν ἅμα ἀπροσδόκητος, καὶ τοὺς πρώτους ἐκπλήξας κατήραξε κατὰ τοῦ πρανοῦς ἅπαντας· κἀνταῦθα αὐτοὺς ἐν τῇ ἀναστροφῇ περί τε ἀλλήλοις καὶ περὶ τοῖς ξύλοις σφαλλομένους κατέκοψεν οὕτως ὥστε μηδένα αὐτῶν μηδὲ τῶν ἄλλων ἔτ' ἀνταῖραι. Ἄπληστοι γὰρ ἀλογίστως οἱ Γαλάται ἐς πάνθ' ὁμοίως ὄντες οὔτε τὸ θαρσοῦν σφων οὔτε τὸ δεδιὸς μετριάζουσιν, ἀλλ' ἔκ τε τούτου πρὸς δειλίαν ἀνέλπιστον καὶ ἐξ ἐκείνου πρὸς θάρσος προπετὲς ἐκπίπτουσιν.

XLVI. Ὑπὸ δὲ δὴ τὰς αὐτὰς ἡμέρας καὶ ὁ Κράσσος ὁ Πούπλιος, τοῦ Κράσσου τοῦ Μάρκου παῖς, τὴν Ἀκυϊτα-

1. Ce trait ne se trouve pas dans Cæsar, qui dit au contraire que les Unelles manquaient de vivres (inopia cibariorum cui rei parum diligenter ab iis erat provisum).

2. Singulière méprise de Dion. Les fascines que traînaient les Gaulois étaient destinées à combler les fossés du camp romain, qu'ils espéraient emporter d'assaut.

un échec. Ils furent assez inconsidérés pour le croire, s'étant gorgés de nourriture et de boisson ; et craignant que les Romains ne les prévinssent par leur fuite, ils s'élancèrent aussitôt contre eux. (Il ne fallait pas, à leur dire, que même le [prêtre qui] porte le feu s'en sauvât[1].) Emportant donc, traînant de çà de là des sarments et des fagots pour brûler les Romains, ils se jettent sur la montée ; ils grimpent, ils se hâtent ; personne ne leur barre le chemin. Sabinus ne bouge pas avant que la plus grande partie d'entre eux soit sur le terrain où il est maître. Alors, de tous les côtés en même temps, il court sur eux à l'improviste, et frappant de terreur les premiers qui se présentent, il les pousse sur la pente tous à la fois. En se retournant, ils trébuchent les uns sur les autres et dans les fascines qu'ils apportent. Sabinus les battit de façon que ni eux ni d'autres ne s'adressèrent plus à lui. Les Galates (Gaulois) sont, en effet, ainsi faits : insatiables, déraisonnables en tout, ils n'ont de mesure ni dans la confiance, ni dans la crainte : de la première ils passent aisément à la peur sans espoir, et de la dernière à une confiance téméraire[2].

XLVI. Vers les mêmes jours, Crassus Publius, fils de Crassus Marcus, subjugua l'Aquitanie presque tout

1. Proverbe. Comp. Photius, *Lexic.*, éd. Porson, t. I, p. 358 : ὅταν πολλοὺς ἀποφῆναι βουλώμεθα τοὺς τελευτήσαντας, λέγομεν ὅτι οὐδὲ πυρφόρος ὑπελείφθη. Il faut lire aussi Suidas, aux mots οὐδὲ πυρφόρος, et le schol. d'Euripide, *Phœniss.*, v. 1387. — Gros.

2. Cette réflexion est, pour le fond, empruntée à Cæsar, l. c., XIX ; mais, comme toujours, Dion donne à sa pensée un tour plus vague et la gâte en croyant l'embellir. Voici ce que dit Cæsar : Nam, ut ad bella suscipienda Gallorum alacer ac promptus est animus, sic mollis ac minime resistens ad calamitates perferendas mens eorum est. — Cf. Strab., IV, IV, 2, dans notre Ier vol., p. 131-133.

νίαν ὀλίγου πᾶσαν κατεστρέψατο. Γαλάται γὰρ καὶ αὐτοὶ ὄντες τῇ τε Κελτικῇ προσοικοῦσι καὶ παρ' αὐτὸ τὸ Πυρηναῖον ἐς τὸν ὠκεανὸν καθήκουσιν. Ἐπ' οὖν τούτους ὁ Κράσσος στρατεύσας Ἀπιάτας[1] τε μάχῃ ἐκράτησε καὶ πολιορκίᾳ εἷλεν, ὀλίγους μὲν ἐν ὁμολογίᾳ τινὶ ἐξ ἀπάτης[2] ἀποβαλών, ἰσχυρῶς δέ σφας καὶ περὶ αὐτοῦ τούτου ἀμυνάμενος, καὶ ἑτέρους τινὰς ἰδὼν ἠθροισμένους τε καὶ στρατιώτας ἐκ τῆς Ἰβηρίας Σερτωριείους[3] ἔχοντας, καὶ μετ' αὐτῶν στρατηγικώτερον ἢ προπετέστερον τῷ πολέμῳ χρωμένους, ὡς καὶ τῇ ἀπορίᾳ τῶν τροφῶν δι' ὀλίγου σφῶν ἐκ τῆς γῆς ἐκχωρησόντων, προσεποιήσατό τε αὐτοὺς δεδιέναι, καὶ καταφρονηθεὶς οὐχ ὑπηγάγετο μὲν οὐδ' ὣς ἐς χεῖράς οἱ ἐλθεῖν, ἀδεῶς δ' ἐς ὕστερον ἔχουσί σφισι προσέβαλεν ἐξαίφνης ἀνέλπιστος. Καὶ ταύτῃ μὲν ᾗ προσέμιξεν οὐδὲν εἰργάσατο· ἐπεκδραμόντες γὰρ οἱ βάρβαροι ἰσχυρῶς ἠμύνοντο· ἐνταῦθα δὲ δὴ τῆς δυνάμεως αὐτοῖς οὔσης, περιέπεμψέ τινας ἐς τὰ ἐπὶ θάτερα τοῦ στρατοπέδου σφῶν[4], καὶ τοῦτό τε ἔρημον ἀνδρῶν κατέσχε,

1. Un ms., C, Ἀσπιάτας. Tous les éditeurs, Reimar, Sturz, Bekker et Gros conservent l'anc. leçon. Xylander proposait Σοντιάτας, déjà adopté par J. Celsus, *Vie de César,* p. 61. Fabricius préférait Σωτιάτας, que fournit Cæsar, *G. G.*, III, XXI. Am. Thierry écrit Sotiates, mais M. Desjardins revient à la forme *Sontiates* qui est celle des dernières éditions de Cæsar. V. éd. Jannettaz, p. 92.

2. Anç. leçon ἐξ ἁπάσης; correction de Xylander approuvée par tous les éditeurs suivants.

3. Presque tous les mss. Σερτωρίους, adopté par R. Estienne. Reimar, Sturz et Bekker Σερτωρείους. Gros, d'après Xylander et Turnèbe, Σερτωριείους.

4. Cæsar, l. c., XXVI : ..... eductis iis cohortibus quæ præsidio castris relictæ, intritæ ab labore erant, et longiori itinere *circumductis.....*

entière. Ces peuples-là sont aussi des Galates (Gaulois) ; ils sont voisins de la Celtique et s'étendent le long du *Pyrènæum* jusqu'à l'océan. Crassus, ayant donc mené contre eux une armée, vainquit les Apiates[1] dans un combat, et prit leur ville après un siège, n'ayant perdu qu'un petit nombre d'hommes par une tromperie de l'ennemi pendant des négociations pour un accommodement[2]. Tandis qu'avec vigueur il se vengeait de cette perfidie, il sut que d'autres peuples s'étaient réunis, lesquels, ayant parmi eux des soldats de Sertorius venus de l'Ibèrie[3], menaient, grâce à ce concours, la guerre avec plus de science militaire que d'impétuosité, et comptaient bien aussi que, à cause du manque de vivres, les Romains ne tarderaient guère à sortir de leur pays. Il fit semblant de les craindre. Dédaigné par eux, il ne les amena point pourtant à en venir aux mains ; mais plus tard, quand les ennemis furent sans craintes, il se jeta sur eux subitement, sans qu'on s'y attendît. Du côté où s'engagea la lutte, il ne gagna rien : les barbares ayant fait une sortie se défendirent avec vigueur. Mais leurs forces étant réunies sur ce point, il envoya quelques hommes vers l'autre côté de leur camp, et comme cette partie était dépourvue de défenseurs, les Romains

1. Peuple inconnu d'ailleurs sous ce nom. V. la note du texte ci-contre.

2. Le chef des Sôtiates ou Sontiates, et non Apiates, était Adiatunnus, Cæsar, *G. G.*, III, xxii ; Adiatomos dans Nicolas de Damas. V. notre t. II, p. 495.

3. Cæsar, *ibid.*, xxiii : Inde (ex citeriore Hispania) auxilia ducesque arcessuntur..... Duces vero ii deliguntur qui una cum Sertorio omnes annos fuerant, summamque scientiam rei militaris habere existimabantur.

καὶ τοῖς μαχομένοις δι' αὐτοῦ κατὰ νώτου ἐπεγένετο [1]. Καὶ οὕτως ἐκεῖνοί τε πάντες ἐφθάρησαν καὶ οἱ λοιποὶ πλὴν ὀλίγων ἀκονιτὶ ὡμολόγησαν. Ταῦτα μὲν ἐν τῷ θέρει ἐπράχθη.

XLVII. Χειμαζόντων δὲ τῶν Ῥωμαίων ἐν τῇ φιλίᾳ, Τέγκτηροί τε καὶ Οὐσιπέται, Κελτικὰ γένη, τὸ μέν τι καὶ πρὸς Σουήβων ἐκβιασθέντες, τὸ δὲ καὶ πρὸς τῶν Γαλατῶν ἐπικληθέντες, (Leuncl., p. 113) τόν τε Ῥῆνον διέβησαν καὶ ἐς τὴν τῶν Τρηουίρων [2] ἐνέβαλον. Κἀνταῦθα τὸν Καίσαρα εὑρόντες καὶ φοβηθέντες ἔπεμψαν πρὸς αὐτὸν σπονδάς τε ποιούμενοι καὶ χώραν αἰτοῦντες, ἢ σφίσι γε ἐπιτραπῆναί τινα ἀξιοῦντες λαβεῖν. Ὡς δ' οὐδενὸς ἔτυχον, τὸ μὲν πρῶτον ἐθελονταὶ οἴκαδε ἐπανήξειν ὑπέσχοντο καὶ διοκωχὴν ᾐτήσαντο· ἔπειτα δὲ ἱππέας αὐτοῦ ὀλίγους προσιόντας ἰδόντες οἱ ἐν τῇ ἡλικίᾳ σφῶν ὄντες κατεφρόνησάν τε αὐτῶν καὶ μετέγνωσαν· κἀκ τούτου ἐπισχόντες τῆς πορείας [3] ἐκείνους τε μὴ προσδεχομένους ἐκάκωσαν, καὶ ἐπαρθέντες ἐπὶ τούτῳ εἴχοντο τοῦ πολέμου.

XLVIII. Καὶ αὐτῶν οἱ πρεσβύτεροι καταγνόντες πρός τε τὸν Καίσαρα καὶ παρὰ τὴν γνώμην σφῶν ἦλθον, καὶ

1. Gros κατέσχον et ἐπεγένετο. Nous donnons la leçon de Bekker.

2. Les mss., Τριηρῶν, Gros, Τριουήρων, Cæsar-Jannettaz, *passim*, *Treveri*. — Pour les Usipètes et les Tenctères nous suivons l'orthographe de Cæsar. Chassés par les Suèves, ces peuples avaient passé le Rhin et pénétré dans le Luxembourg en s'avançant entre ce fleuve et la Meuse. Cæsar les refoula en Germanie; ils s'établirent alors probablement du côté de *Wesel* (Jannettaz).

3. Anc. leçon καὶ τούτου ὑποσχόντες τῆς ἀπορίας, corrompue; correction de Xylander adoptée par Sturz, Bekker, Gros, etc. Quatre mss., A, B, F et C, donnent ἐπισχόντες, et C τῆς ἀπορείας, d'où les corrections admises.

l'occupèrent, et par là arrivèrent sur les derrières des combattants. Ces peuples-là furent tous exterminés ; les autres, à quelques exceptions près, s'accommodèrent avec les Romains sans tirer l'épée. — Voilà ce qui se fit cet été.

XLVII. Les Romains étaient en quartier d'hiver dans un pays ami : alors les Tenctères et les Usipètes, nations celtiques[1], ou chassés violemment par les Suèves, ou appelés par les Galates (Gaulois), passèrent le Rhèn et se jetèrent sur le territoire des Trèvires. Mais là ils trouvèrent Cæsar, et saisis de crainte, ils envoyèrent vers lui pour faire un traité, demander des terres ou réclamer la permission d'en prendre quelque part. N'ayant rien obtenu, ils promirent d'abord de retourner volontairement dans leurs foyers et demandèrent une trêve ; mais ensuite, voyant marcher contre eux un petit nombre de cavaliers, ceux qui étaient dans la force de l'âge les méprisèrent et changèrent d'avis. En conséquence, s'étant arrêtés en route, ils maltraitèrent ces cavaliers qui ne s'attendaient pas à leur attaque, et exaltés par ce coup de main, ils s'en tinrent à la guerre.

XLVIII. Les plus vieux désapprouvèrent leur conduite, et, contre leur avis, allèrent trouver Cæsar :

1. Il ne faut pas perdre de vue que pour Dion Cassius les Germains sont des Celtes : il emploie d'ordinaire ce dernier nom au lieu de l'autre. — V. ci-après ch. XLIX, et particulièrement livre LIII, XII. V. aussi la savante discussion où M. Ern. Desjardins (*Géogr. de la Gaule rom.*, t. II, p. 193 et suivantes) dit que Celtes et Gaulois sont des termes synonymes.

ἐδέοντο αὐτοῦ συγγνῶναί σφισι, τὴν αἰτίαν ἐς ὀλίγους τρέποντες. Ὁ δὲ τούτους μὲν, ὡς καὶ ἀπόκρισίν τινα αὐτοῖς οὐκ ἐς μακρὰν δώσων, κατέσχεν, ὁρμήσας δὲ ἐπὶ τοὺς ἄλλους ἐν ταῖς σκηναῖς ὄντας, ἐπέστη τέ σφισι μεσημβριάζουσι καὶ μηδὲν πολέμιον, ἅτε ἐκείνων παρ' αὐτῷ ὄντων, ὑποτοπουμένοις, καὶ ἐσπηδήσας ἐς αὐτοὺς παμπληθεῖς τῶν πεζῶν, οὐδὲ τὰ ὅπλα ἀνελέσθαι φθάσαντας, ἀλλὰ καὶ περὶ ταῖς ἁμάξαις ὑπό τε τῶν γυναικῶν καὶ ὑπὸ τῶν παίδων ἀναμὶξ ὄντων ταραττομένους, κατεφόνευσε. Τούς τε ἱππέας ἀπόντας τότε, ἅτε καὶ παραχρῆμα, ὡς ἐπύθοντο τὸ γεγονός, πρός τε τὰ οἰκεῖα ἤθη ὁρμήσαντας καὶ πρὸς Συγάμβρους[1] ἀποχωρήσαντας, πέμψας ἐξῄτησεν, οὐχ ὅτι καὶ ἐκδοθήσεσθαί σφας προσεδόκησεν, οὐ γάρ που οὕτως οἱ πέραν τοῦ Ῥήνου τοὺς Ῥωμαίους ἐφοβοῦντο ὥστε καὶ τὰ τοιαῦτα αὐτῶν ἀκούειν, ἀλλ' ὅπως ἐπὶ τῇ προφάσει ταύτῃ καὶ ἐκεῖνον διαβαίη. Αὐτός τε γάρ, ὃ μηδείς πω πρότερον τῶν ὁμοίων οἱ ἐπεποιήκει, δεινῶς πρᾶξαι ἐγλίχετο, καὶ τοὺς Κελτοὺς πόρρωθεν ἐκ τῆς Γαλατίας ἀνείρξειν, ἅτε καὶ ἐς τὴν οἰκείαν αὐτῶν ἐσβαλών, προσεδόκησεν. Ὡς οὖν οὔτε οἱ ἱππεῖς ἐξεδίδοντο, καὶ οἱ Οὔβιοι[2], ὅμοροί τε τοῖς Συγάμβροις οἰκοῦντες καὶ διάφοροι αὐτοῖς ὄντες, ἐπεκαλέσαντο αὐτόν, διέβη μὲν τὸν ποταμὸν γεφυρώσας· εὑρὼν δὲ τούς τε Συγάμβρους ἐς τὰ ἐρυμνὰ ἀνακεκομισμένους καὶ τοὺς Σουήβους συστρεφομένους ὡς καὶ βοηθήσοντάς σφισιν ἀνεχώρησεν ἐντὸς ἡμερῶν εἴκοσιν.

1. *Sugambri* ou *Sigambri* dans Cæsar (*G. G.*, IV, 16, 18, 19; VI, 35), Prusse rhénane et duché de Nassau. Divers mss., A, C, B, E, F, G, συγγάμβρους.

2. Les *Ubii*, à l'est des Trévires, sur la rive droite du Rhin. *Vulgo* 'Εούβιοι; correction de Rob. Estienne, généralement suivie.

ils lui demandèrent pardon, rejetant sur quelques-uns la faute commise. Cæsar, comme s'il ne devait pas tarder à leur donner une réponse, les retint ; et s'élançant contre les autres qui étaient dans leurs tentes, il arriva sur eux pendant leur repos de midi, alors que, leurs compatriotes étant près de lui, ils ne soupçonnaient de sa part aucune hostilité. Ainsi assaillis, une multitude de leurs fantassins qui n'avaient pas eu le temps de prendre les armes, et se trouvaient parmi leurs chariots, en grand désordre à cause des femmes et des enfants confondus avec eux, furent massacrés[1]. Les cavaliers étaient absents alors, car en apprenant ce qui s'était passé, ils avaient à l'instant même gagné au galop leurs foyers et s'étaient retirés chez les Sygambres. Cæsar envoya demander qu'on les lui livrât, non qu'il espérât l'obtenir, — les peuples d'Outre-Rhèn ne craignaient pas encore assez les Romains pour obéir à de pareilles injonctions, — mais il aurait là un prétexte pour passer le fleuve. Car il avait un violent désir de faire ce que n'avait fait avant lui personne dans une semblable position. Et il se flattait de retenir les Celtes (Germains) loin de la Galatie (Gaule) en se jetant dans leur propre pays. Les cavaliers ne lui furent donc point livrés. En outre, les *Ubii*, qui habitaient sur les confins des Sygambres et avaient des démêlés avec eux, l'appelèrent. Il jeta un pont sur le fleuve et passa de l'autre côté. Mais ayant trouvé les Sygambres déjà repliés dans leurs forts, et les Suèves rassemblés pour les secourir, il se retira avant le 20e jour.

1. Dion ici suit pas à pas Cæsar, IV, 14, et le résume assez exactement.

XLIX. Ὁ δὲ δὴ Ῥῆνος ἀναδίδωσι μὲν ἐκ τῶν Ἄλπεων τῶν Κελτικῶν[1], ὀλίγον ἔξω τῆς Ῥαιτίας, προχωρῶν δὲ ἐπὶ δυσμῶν ἐν ἀριστερᾷ μὲν τήν τε Γαλατίαν καὶ τοὺς ἐποικοῦντας αὐτήν, ἐν δεξιᾷ δὲ τοὺς Κελτοὺς ἀποτέμνεται, καὶ τελευτῶν ἐς τὸν ὠκεανὸν ἐμβάλλει. (Leuncl., p. 114.) Οὗτος γὰρ ὁ ὅρος, ἀφ' οὗ γε καὶ ἐς τὸ διάφορον τῶν ἐπικλήσεων ἀφίκοντο[2], δεῦρο ἀεὶ νομίζεται· ἐπεὶ τό γε πάνυ ἀρχαῖον Κελτοὶ ἑκάτεροι οἱ ἐπ' ἀμφότερα τοῦ ποταμοῦ οἰκοῦντες ὠνομάζοντο.

L. Ὁ οὖν Καῖσαρ τόν τε Ῥῆνον πρῶτος τότε Ῥωμαίων διέβη, καὶ ἐς Βρεττανίαν μετὰ ταῦτα, τοῦ τε Πομπηίου καὶ τοῦ Κράσσου ὑπατευόντων, ἐπεραιώθη. Ἡ δὲ δὴ χώρα αὕτη ἀπέχει μὲν τῆς ἠπείρου τῆς Βελγικῆς[3] κατὰ Μορίνους[4] σταδίους πεντήκοντα καὶ τετρακοσίους τὸ συντομώτατον· παρήκει δὲ παρά τε τὴν λοιπὴν Γαλατίαν καὶ παρὰ τὴν Ἰβηρίαν ὀλίγου πᾶσαν, ἐς τὸ πέλαγος ἀνατείνουσα. Καὶ τοῖς μὲν πάνυ πρώτοις καὶ Ἑλλήνων καὶ Ῥωμαίων οὐδ' ὅτι ἔστιν ἐγιγνώσκετο, τοῖς δὲ ἔπειτα ἐς ἀμφισβήτησιν εἴτε ἤπειρος εἴτε καὶ νῆσος εἴη ἀφίκετο· καὶ πολλοῖς ἐφ' ἑκάτερον, εἰδόσι μὲν οὐδὲν, ἅτε μήτ' αὐτόπταις μήτ' αὐτηκόοις τῶν ἐπιχωρίων γενομένοις, τεκμαιρομένοις δὲ ὡς ἕκαστοι σχολῆς ἢ καὶ φιλολογίας εἶχον, συγγέγραπται. Προϊόντος δὲ τοῦ χρόνου πρότερόν

1. *Vulg.* Κελτιβήρων, mauvaise leçon depuis longtemps condamnée.

2. Rob. Estienne ἀφίκονται.

3. *Vulg.* Κελτικῆς, défendu par Fabricius, rejeté déjà par Leunclavius et généralement abandonné depuis pour Βελγικῆς, qui a très bien pu se confondre avec Κελτικῆς : ΒΕΛΤΙΚΗΣ-ΚΕΛΤΙΚΗΣ.

4. Gros et ses devanciers Μωρίνους; Leunclavius indiquait pourtant déjà qu'il fallait lire Μορίνους. Virgile, *Æn.*, VIII, 727 :

Extremique hominum *Morini*, Rhenusque bicornis.

Cf. Grat., *Cyn.*, 174, et Strabon, IV, III, 5 ; V, 2.

XLIX. Le Rhèn sort des Alpes celtiques[1], un peu en dehors de la Rhætie : il court vers le couchant et sépare à gauche la Galatie (Gaule) et ses habitants, à droite les Celtes (Germains), et finalement se jette dans l'océan. Telle est la limite qui, depuis que ces peuples ont adopté des dénominations différentes, a été jusqu'ici admise. Car, dans un temps tout à fait ancien, les habitants des deux rives du fleuve étaient les uns et les autres appelés Celtes.

L. Cæsar donc est le premier des Romains qui alors traversa le Rhèn et passa ensuite dans la Brettanie ; c'était sous le consulat de Pompée et de Crassus[2]. Cette dernière contrée est éloignée du continent, — du pays des Morins dans la Belgique, — de 450 stades[3] : c'est la distance la plus courte. Elle s'allonge en face de la Galatie (Gaule) et de presque toute l'Ibèrie, en s'étendant dans la mer. Primitivement, ni les Hellènes ni les Romains ne savaient qu'elle existât. Plus tard se posa pour eux la question de savoir si c'était un continent ou une île[4]. Plusieurs écrivains se prononcèrent dans un sens ou dans l'autre, lesquels n'en savaient rien, puisqu'ils n'avaient pas vu par eux-mêmes le pays, et qu'ils n'en avaient rien ouï dire par les habitants ; ils formaient des conjectures suivant leurs loisirs ou leur goût pour l'érudition. Mais dans la suite des temps, d'abord sous le pro-

1. Cæsar, *ibid.*, 10. Rhenus autem oritur ex Lepontiis, qui Alpes incolunt, etc.

2. An de Rome 699, av. J.-C. 55.

3. 81 kilom. — Strab., IV, v, 2, dans notre t. I, p. 146-147, ne donne à la traversée de Cæsar que 320 stades, soit 57 kilom.

4. Les poètes du temps d'Auguste admettent généralement que la Bretagne est une île. Virg., *Ecl.* I, 67 ; Ovide, *Mét.* VIII, 604 : *æquoreos Britannos ;* Horat., *Od.* IV, XIV, 47-48, etc. V. p. 292, note 3.

τε ἐπ' Ἀγρικόλου[1] ἀντιστρατήγου καὶ νῦν ἐπὶ Σεουήρου[2] αὐτοκράτορος νῆσος οὖσα σαφῶς ἐλήλεγκται[3].

LI. Ἐς ταύτην οὖν τότε ὁ Καῖσαρ, ἐπειδὴ τά τε ἄλλα τὰ τῶν Γαλατῶν ἡσύχαζε καὶ τοὺς Μορίνους προσεποιήσατο, ἐπεθύμησε διαβῆναι. Καὶ τὸν μὲν διάπλουν καθ' ὃ μάλιστα ἐχρῆν μετὰ τῶν πεζῶν ἐποιήσατο, οὐ μέντοι καὶ ᾗ ἔδει προσέσχεν· οἱ γὰρ Βρεττανοὶ τὸν ἐπίπλουν αὐτοῦ προπυθόμενοι, τὰς κατάρσεις ἁπάσας τὰς πρὸς[4] τῆς ἠπείρου οὔσας προκατέλαβον. Ἄκραν οὖν τινα προέχουσαν περιπλεύσας ἑτέρωσε παρεκομίσθη· κἀνταῦθα τοὺς προσμίξαντάς οἱ ἐς τὰ τενάγη ἀποβαίνοντι νικήσας, ἔφθη τῆς γῆς κρατήσας πρὶν τὴν πλείω συμβοήθειαν ἐλθεῖν, καὶ μετὰ ταῦτα καὶ ἐκείνους προσβαλόντας ἀπεώσατο. Καὶ ἔπιπτον μὲν οὐ πολλοὶ τῶν βαρβάρων, ἁρματηλάται τε γὰρ ὄντες καὶ ἱππεῖς, ῥᾳδίως τοὺς Ῥωμαίους, μηδέπω τοῦ ἱππικοῦ αὐτοῖς παρόντος, διέφυγον, ἐκπλαγέντες δὲ πρός τε τὰ ἐκ τῆς ἠπείρου περὶ αὐτῶν ἀγγελλόμενα, καὶ ὅτι περαιωθῆναί τε ὅλως ἐτόλμησαν καὶ ἐπιβῆναι τῆς χώρας ἠδυνήθησαν, πέμπουσι πρὸς τὸν Καίσαρα τῶν Μορίνων τινάς, φίλων σφίσιν ὄντων, ἐπικηρυκευόμενοι.

1. Xiphil. Ἀγρικολάου, de même H. Estienne.

2. *Vulg.* Σεβήρου, A, D Σευήρου.

3. Pour Cæsar, cela ne faisait pas de doute ; il se sert sans hésiter du mot *insula* (*G. G.*, IV, 21 ; V, 12, 13, etc.) pour désigner la Bretagne. Diodore, V, 16, Strabon, l. c., Plut., *Cæs.*, XXIII, n'hésitent pas davantage à cet égard. Ce qui, au rapport de Quintilien, VII, IV, 2, n'empêchait pas les rhéteurs de proposer, comme exercice du genre délibératif, cette question : « César délibère s'il portera la guerre en Bretagne : c'est le cas d'examiner quelle est la nature de l'Océan ; si *la Bretagne est une île,* ce qu'on ignorait alors, etc. » Tacite, *Agricol.,* X, semble dire que ce fut du temps de son beau-père qu'une flotte romaine, ayant fait le tour de la Bretagne pour la première fois, affirma que c'était une île.

4. Anc. leçon πρὸ, corrigée par Gros d'après F.; Bekker avait mis πρὸς par conjecture.

préteur Agricole, et aujourd'hui sous l'empereur Sévère, il a été clairement prouvé que c'est une île.

LI. Cæsar donc, après avoir pacifié les autres contrées des Galates (Gaulois), et fait des Morins les sujets de Rome, eut envie de passer [dans la Brettanie]. La traversée avec l'infanterie se fit dans les meilleures conditions ; toutefois il n'aborda pas où il fallait. Car les Brettans, prévenus qu'il naviguait vers eux, avaient occupé d'avance en face du continent tous les lieux où l'on pouvait descendre. Cæsar donc, ayant tourné la pointe d'un long promontoire, se porta de l'autre côté. Là les ennemis le chargèrent au moment où il débarquait dans des bas-fonds ; il les vainquit et resta maître du terrain avant l'arrivée des troupes plus nombreuses qui devaient lui venir en aide, et après cela, il repoussa encore leurs attaques. Il ne tomba pas beaucoup des barbares [en ces rencontres]. Comme ils étaient sur des chars[1] ou à cheval, ils échappèrent facilement aux Romains dont la cavalerie n'était pas encore là ; mais terrifiés par ce qu'on leur annonçait du continent au sujet de leurs ennemis, de ces étrangers qui, en somme, avaient eu l'audace de passer la mer et le pouvoir d'envahir leur pays, ils envoient vers Cæsar quelques-uns des Morins qui étaient leurs amis, pour parlementer.

1. Le mot grec ἁρματηλάται traduit le latin *essedarii* = ex essedis pugnantes. Cæsar, l. c., xxiv. — V., ch. xxxiii, la description de ce genre de combat. — On voit par Tite-Live, X, 28, que les Romains connaissaient depuis longtemps les *essédaires* gaulois. Ces terribles *essédaires*, bretons ou gaulois, hantaient les imaginations romaines. Cicéron (*Epist. ad div.*, VII, vi, *fin.*) fait à ce sujet de pressantes recommandations à son ami Trébatius qui accompagnait Cæsar. — Cf. Virg., *Georg.*, III, 204 :

Belgica vel molli melius feret esseda collo,

où il faut lire évidemment avec la vulgate et plusieurs mss. *bel-*

LII. Καὶ τότε μὲν ὁμήρους αἰτήσαντι αὐτῷ δοῦναι ἠθέλησαν, πονησάντων δὲ ἐν τούτῳ τῶν Ῥωμαίων ὑπὸ χειμῶνος καὶ τῷ παρόντι ναυτικῷ καὶ τῷ ἀφικνουμένῳ[1], καὶ μετέγνωσαν, καὶ ἐκ μὲν τοῦ προφανοῦς οὐκ ἐπέθεντο αὐτοῖς, τὸ γὰρ στρατόπεδον ἰσχυρῶς ἐφυλάσσετο, δεξάμενοι δέ τινας ὡς καὶ ἐς φιλίαν τὴν χώραν σφῶν πρὸς κομιδὴν τῶν ἐπιτηδείων πεμφθέντας, (Leuncl., p. 115) αὐτούς τε πλὴν ὀλίγων ἔφθειραν[2]· ὁ γὰρ Καῖσαρ διὰ ταχέων τοῖς λοιποῖς ἐπήμυνε· καὶ μετὰ τοῦτο καὶ πρὸς αὐτὸ τὸ ἔρυμα αὐτῶν προσέβαλον. Καὶ ἔπραξαν μὲν οὐδέν, ἀλλὰ καὶ κακῶς ἀπήλλαξαν· οὐ μέντοι καὶ ἐς ὁμολογίαν ἦλθον πρὶν πολλάκις σφαλῆναι. Καὶ γὰρ ὁ Καῖσαρ ἄλλως μὲν οὐκ εἶχε γνώμην σπείσασθαί σφισιν, ἐπεὶ δὲ ὅ τε χειμὼν προσῄει, καὶ οὐχ ἱκανὴν τὴν παροῦσαν δύναμιν περιεβέβλητο ὥστε καὶ ἐν αὐτῷ πολεμῆσαι, ἥ τε κομιζομένη ἔσφαλτο, καὶ οἱ Γαλάται πρὸς τὴν ἀπουσίαν αὐτοῦ ἐνεωτέρισαν, καὶ ἄκων αὐτοῖς συνηλλάγη, ὁμήρους καὶ τότε πλείους αἰτήσας μέν, λαβὼν δὲ ὀλίγους[3].

LIII. Καὶ ὁ μὲν ἐς τὴν ἤπειρον ἀναπλεύσας τὰ ταραχθέντα καθίστατο, μηδὲν[4] ἐκ τῆς Βρεττανίας μήτε ἑαυτῷ

1. Cæsar, l. c., IV, xxviii et ss.

2. Cæsar, l. c., xxxii : Legione una frumentatum missa, quæ appellabatur septima..... tum dispersos depositis armis in metendo occupatos subito adorti, *paucis interfectis*, reliquos incertis ordinibus perturbaverant.....

3. Cæsar, l. c., IV, xxxvi : His Cæsar numerum obsidum quem ante imperaverat, duplicavit, eosque in continentem adduci jussit..... xxxviii : ..... Eo duæ omnino civitates ex Britannia obsides miserunt.

4. Anc. leçon μηδὲν μήτε..... ἐπ' αὐτὰς δόξαι. Corrections indiquées par Leunclavius.

LII. Cæsar leur demanda des otages, et ils voulurent bien lui en donner. Mais, à ce moment, les Romains ayant souffert d'une tempête qui endommagea et la flotte présente et celle qui arrivait, ils changèrent d'avis. A la vérité, ils ne les attaquèrent pas ouvertement, car leur camp était fortement gardé, mais après avoir bien reçu quelques-uns d'entre eux envoyés comme en pays ami pour y chercher des vivres, ils les tuèrent, sauf un petit nombre[1] que Cæsar en toute hâte secourut ; et ensuite ils se jetèrent sur ses lignes de défense; mais ils ne firent rien et même se retirèrent assez maltraités. Toutefois ils ne vinrent pas à composition avant d'avoir subi plusieurs échecs. Cæsar n'avait pas d'ailleurs l'intention de traiter avec eux; mais comme l'hiver approchait, qu'il n'avait pas autour de lui des forces suffisantes pour guerroyer en cette saison, que celles qu'on lui amenait avaient eu à souffrir, que les Galates (Gaulois), profitant de son absence, avaient remué encore, il s'accommoda avec eux à contre-cœur, après avoir demandé des otages, et même alors plus nombreux[2], et en avoir reçu très peu.

LIII. Revenu sur le continent, il apaisa tous les troubles. Il n'avait rien gagné en Brettanie, pour lui

gica, et non *bellica,* leçon du *mediceus* et du *palatinus.* L'*essedum* devint à Rome un char de luxe, Propert., II, I, 76 :

Esseda cælatis siste britanna jugis.

— Cf. Ovid., *Amor.*, II, XVI, 49. — *Essedum* ou *esseda* est un mot gaulois.

1. V. dans la note 2 du texte le passage de Cæsar qui dit exactement le contraire. Ou Dion ne l'a pas compris, ou il avait d'autres documents sous les yeux.

2. Le double, l. c., XXXVI ; v. ci-contre note 3.

μήτε τῇ πόλει προσκτησάμενος πλὴν τοῦ ἐστρατευκέναι ἐπ' αὐτοὺς δόξαι. Τούτῳ γὰρ καὶ αὐτὸς ἰσχυρῶς ἐσεμνύνετο, καὶ οἱ οἴκοι Ῥωμαῖοι θαυμαστῶς ἐμεγαλύνοντο· ἐμφανῆ τε γὰρ τὰ πρὶν ἄγνωστα καὶ ἐπιβατὰ τὰ πρόσθεν ἀνήκουστα ὁρῶντές σφισι γεγονότα, τήν τε μέλλουσαν ἐξ αὐτῶν ἐλπίδα ὡς καὶ παροῦσαν ἔργῳ ἐλάμβανον, καὶ πάνθ' ὅσα καταπράξειν προσεδέχοντο, ὡς καὶ ἔχοντες ἤδη ἠγάλλοντο. Καὶ οἱ μὲν διὰ ταῦτα ἱερομηνίας ἐπὶ εἴκοσιν ἡμέρας ἀγαγεῖν ἐψηφίσαντο [1].....

LXV. (Leuncl., p. 120.) Κἂν τούτῳ καὶ ὁ Πομπτῖνος [2] ὁ Γάιος τὰ ἐπινίκια τὰ τῶν Γαλατῶν ἔπεμψεν.....

Βίβλος Μ'.

I. (Leuncl., p. 121.) ..... Ἐν δὲ δὴ τῇ Γαλατίᾳ ὁ Καῖσαρ ἐπὶ τῶν αὐτῶν ἐκείνων, τοῦ Δομιτίου τοῦ Λουκίου καὶ τοῦ Κλαυδίου τοῦ Ἀππίου, ὑπάτων τά τε ἄλλα καὶ ναῦς ἐν μέσῳ τῶν τε σφετέρων τῶν ταχειῶν καὶ τῶν αὐτόθεν τῶν φορτίδων, ὅπως ὡς μάλιστα καὶ κουφίζωσι καὶ πρὸς τὸ κῦμα ἀντέχωσιν, ἐπί τε τοῦ ξηροῦ ἱστάμεναι μὴ λυμαίνωνται, παρεσκευάσατο. Καὶ ἐπειδὴ πλώιμα ἐγένετο, ἐς τὴν Βρεττανίαν αὖθις ἐπεραιώθη, πρόφασιν μὲν ὅτι μὴ πάντας τοὺς ὁμήρους οὓς ὑπέσχοντό οἱ ἐπεπόμφεσαν, νομίζοντες αὐτόν, ὅτι διὰ κενῆς τότε

1. Cæsar, l. c., XXXIX : His rebus gestis, ex litteris Cæsaris dierum XX supplicatio a senatu decreta est.

2. Πομπήιος dans G, Πομπῖνος dans Rob. Estienne (*Pontinus* dans l'*Épit.* de Tite-Live, CIII); correct. de Gros, qui pencherait pour Πομπτίνιος, parce qu'on lit *Pomptinius* dans les meilleurs textes de Cicéron, *A Attic.*, IV, 16, *à Quintus*, III, 4, *Sur les Provinc. consul.*, XIII. — V. plus haut, p. 226-228, note 3.

et pour la république, que l'honneur d'y avoir mené une armée. Il en était très fier, et, à Rome, c'était merveille comme on s'en trouvait plus grand ; en considérant qu'on avait découvert des contrées auparavant inconnues, qu'on avait envahi des pays dont nul jusque-là n'avait ouï parler, on prenait l'espérance appartenant à l'avenir pour une réalité présente ; et tout ce qu'on s'attendait à conquérir un jour, on s'en félicitait, comme si on l'eût tenu déjà. Et à cette occasion on décréta de célébrer des actions de grâces[1] pendant vingt jours.

LXV. A la même époque aussi[2], Pomptinus Gaïus célébra son triomphe sur les Galates (Gaulois)[3].

Livre XL.

I. Dans la Galatie (Gaule), sous ces mêmes consuls, Domitius Lucius et Claudius Appius[4], Cæsar, entre autres préparatifs, construisit des navires tenant le milieu entre nos vaisseaux rapides et les bâtiments de transport du pays, afin de leur donner de la légèreté le plus possible, et aussi la force nécessaire pour tenir contre la vague et rester à sec sans être endommagés. — Dès que le temps propre à la navigation fut venu, il passa de nouveau en Brettanie : il prenait pour prétexte que tous les otages promis ne lui avaient pas été envoyés, — les Brettans pensant que, comme

1. Litt. : « On décréta de mener des *hiéroménies* pendant 20 jours. » Hiéroménie = *sacra menstrua* ou *menstrualia*, s'est dit de toute fête qui s'accomplissait au cours d'un même mois.
2. An de Rome 699, av. J.-C. 55.
3. V. *supr.* l. XXXVII, ch. XLVII-XLVIII.
4. An de Rome 700, av. J.-C. 54.

ἀνεχώρησε, μηκέτ' αὖθίς σφων πειράσειν, ποιησάμενος, ἔργῳ δὲ δεινῶς τῆς νήσου ἐφιέμενος, ὥστε εἰ μὴ καὶ τοῦτο ἦν, πάντως ἂν ἄλλην τινὰ σκῆψιν εὑρεῖν. Κατῆρέ τε οὖν ἔνθα καὶ πρότερον, μηδενὸς ὑπό τε τοῦ πλήθους τῶν νεῶν καὶ ὑπὸ τοῦ πολλαχόσε ἅμα αὐτὰς κατασχεῖν τολμήσαντος ἀντιστῆναι, καὶ τὸ ναύσταθμον εὐθὺς ἐκρατύνατο.

II. Οἱ οὖν βάρβαροι τὸν μὲν πρόσπλουν αὐτοῦ οὐκ ἠδυνήθησαν διὰ ταῦτα κωλῦσαι· δείσαντες δὲ μᾶλλον ἢ πρότερον, ἅτε καὶ στρατῷ πλείονι αὐτοῦ ἐλθόντος, ἐς τὸ λασιώτατον καὶ ἐς τὸ λοχμωδέστατον τῶν ἐγγὺς χωρίων πάντα τὰ τιμιώτατα συνεφόρησαν, καὶ αὐτὰ ἐν ἀσφαλεῖ ποιησάμενοι, τά τε γὰρ πέριξ ξύλα ἔκοψαν, καὶ ἕτερα ἐπ' αὐτοῖς στοιχηδὸν ἐπισυνένησαν, ὥστε ἐν χαρακώματι τρόπον τινὰ εἶναι, ἔπειτα τοὺς προνομεύοντας τῶν Ῥωμαίων ἐλύπουν. Καὶ δὴ καὶ μάχῃ τινὶ ἐν τῷ ψιλῷ ἡττηθέντες ὑπήγαγόν σφας ἐκεῖσε κατὰ τὴν δίωξιν, καὶ συχνοὺς ἀνταπέκτειναν. Καὶ μετὰ τοῦτο, χειμῶνος αὖθις τὰς ναῦς αὐτῶν λυμηναμένου, συμμάχους τε προσμετεπέμψαντο καὶ ἐπ' αὐτὸ τὸ νεώριόν σφων ὥρμησαν, Κασουελλανὸν[1] τὸν τὰ πρῶτα τῶν ἐν τῇ νήσῳ δυναστῶν φερόμενον προστησάμενοι. Καὶ αὐτοῖς ἀπαντήσαντες οἱ Ῥωμαῖοι τὸ μὲν πρῶτον ἐταράχθησαν τῇ τῶν ἁρμάτων σφῶν προσμίξει, ἔπειτα δὲ διιστάμενοι, καὶ ἐκεῖνά τε παρεξιέντες καὶ τοὺς παραθέοντας ἐς τὰ πλάγια βάλλοντες, ἀνίσωσαν τὴν μάχην.

1. Ce nom, comme d'habitude, est très altéré dans les divers mss. A, D, E, F, G, H portent και σουελλανον, B και σουελλιον, C και σουελαντον; Cæsar, *Comment.*, *G. G.*, V, XI, XVIII, XIX, etc., *Cassivellaunus*.

il s'en était allé à vide, il ne tenterait plus rien contre eux, — mais en réalité il avait une terrible envie de s'emparer de cette île, et à défaut de cette raison, il en aurait de toute manière trouvé une autre où s'appuyer. Il descendit au même endroit qu'auparavant, personne n'ayant osé lui faire face à cause du grand nombre de ses vaisseaux et du soin qu'il avait eu de prendre terre sur plusieurs points à la fois. Et tout de suite il fortifia l'endroit où stationnèrent ses vaisseaux.

II. Les barbares donc ne purent, pour ces raisons, l'empêcher de marcher vers eux. Plus effrayés qu'auparavant, parce que Cæsar venait avec une armée plus nombreuse, ils transportèrent dans l'endroit du voisinage le plus touffu, le plus couvert de broussailles, leurs objets les plus précieux, et après les y avoir mis en sûreté, ils coupèrent les bois d'alentour, jetèrent dessus et par couches d'autres matériaux, de façon à faire une espèce de camp retranché, puis ils inquiétèrent les fourrageurs des Romains. Vaincus dans un combat en rase campagne, ils attirèrent dans ce camp les ennemis qui les poursuivaient et leur tuèrent beaucoup de monde. Après cela, une tempête ayant encore endommagé les navires [de Cæsar], ils envoyèrent quérir des alliés, et se jetèrent sur sa station navale : ils avaient mis à leur tête Casvellanos qui tenait le premier rang parmi les *dynastes* de l'île. Les Romains étant allés au-devant d'eux furent d'abord troublés par la rencontre de leurs chariots ; mais ensuite, ouvrant les rangs et laissant passer ces chariots, ils frappèrent en flanc l'ennemi qui courait dans l'intervalle, et rendirent le combat égal.

III. Καὶ τότε μὲν κατὰ χώραν ἀμφότεροι ἔμειναν· αὖθις δὲ οἱ βάρβαροι τοῦ μὲν πεζοῦ κρείττους γενόμενοι, ὑπὸ δὲ τῆς ἵππου κακωθέντες, πρός τε τὸν Ταμέσαν[1] ἀνεχώρησαν, καὶ τὸν πόρον αὐτοῦ σταυροῖς, τοῖς μὲν ἐμφανέσι, τοῖς δὲ καὶ ὑφύδροις, διαλαβόντες ηὐλίσαντο. Ἐπειδή τε ἐκείνους τε ὁ Καῖσαρ τό τε σταύρωμα προσβολῇ βιαίᾳ ἐκλιπεῖν ἠνάγκασε, καὶ μετὰ τοῦτο καὶ ἐκ τοῦ ἐρύματος προσεδρείᾳ ἐξήλασε, καὶ τοὺς προσβάλλοντάς σφων τῷ ναυστάθμῳ ἕτεροι ἀπεώσαντο, καὶ κατέδεισαν καὶ κατελύσαντο ὁμήρους τε δόντες καὶ φόρον ἐτήσιον ταξάμενοι.

IV. Καὶ οὕτως ὁ Καῖσαρ ἀπῆρε παντάπασιν ἐκ τῆς νήσου, καὶ οὐδὲν ἐγκατέλιπε στράτευμα ἐν αὐτῇ· ἐκεῖνό τε γὰρ κινδυνεύσειν ἐν ἀλλοτρίᾳ πῃ χειμάζον, καὶ αὐτὸς οὐκ ἂν ἐν καλῷ ἐπὶ πλεῖον ἀπὸ τῆς Γαλατίας ἀποδημῆσαι νομίζων, ἠγάπησε τοῖς παροῦσι, μὴ καὶ μειζόνων ὀριγνώμενος καὶ περὶ ἐκείνοις σφαλῇ. Καὶ ἔδοξε καὶ τοῦτο ὀρθῶς πεποιηκέναι, ὥσπερ που καὶ τῷ ἔργῳ διεδείχθη· ἐπεὶ γὰρ ἐς τὴν Ἰταλίαν[2] ὥρμησεν ὡς καὶ ἐκεῖ παραχειμάσων, οἱ Γαλάται, καίτοι φρουροὺς ὡς ἕκαστοι πολλοὺς ἔχοντες, ὅμως ἐνεόχμωσαν, καί τινες αὐτῶν καὶ φανερῶς ἐπανέστησαν. Ὅπερ εἰ, ἐν τῇ Βρεττανίᾳ καταμείναντος αὐτοῦ, παρὰ τὸν χειμῶνα ἐγεγόνει, πάντα ἂν τὰ τῇδε ἐτετάρακτο.

1. *Tamesis,* dans Cæsar, V, 11, 18; *Tamesa,* dans Tacite, *Ann.*, XIV, 32. — Ptolém., II, 3, 6, note, avant le promontoire de Cantium, l'estuaire de l'*Iamesas,* Ἰαμήσα εἴσχυσις; ne faudrait-il pas lire Ταμήσα?

2. Leunclavius proposait de lire εἰς τὴν Γαλατίαν. Cette conjecture, adoptée par D. Bouquet, a été réfutée par Fabricius. Aucun éditeur ne l'a admise.

III. Des deux côtés alors on resta en place; mais dans une seconde affaire, les barbares qui avaient eu l'avantage sur l'infanterie, et à qui la cavalerie avait fait beaucoup de mal, rétrogradèrent vers le Tamésas, puis ayant intercepté le passage du fleuve[1] par des pieux, les uns visibles, les autres sous l'eau, ils bivouaquèrent là. Cæsar, par une vigoureuse attaque, les força d'abandonner cette palissade, et les délogea ensuite de leurs abris en les y assiégeant, pendant que d'un autre côté on repoussait ceux qui attaquaient la station navale. Alors les Brettans eurent peur, et renonçant à la lutte, ils donnèrent des otages et convinrent de payer un tribut annuel.

IV. Et c'est ainsi que Cæsar quitta tout à fait leur île, sans y laisser de troupes; estimant qu'il y aurait danger pour elles à hiverner sur une terre étrangère, et qu'il ne serait pas bon pour lui d'être plus longtemps absent de la Galatie (Gaule), il se contenta des résultats obtenus, et craignit, en désirant davantage, de les compromettre. Et en cela encore il parut avoir agi avec bon sens, comme l'événement le démontra : car dès qu'il fut parti pour l'Italie avec l'intention même d'y passer l'hiver, les peuples galates (gaulois), bien qu'ayant chacun chez eux de nombreuses garnisons, s'agitèrent encore; quelques-uns même se révoltèrent ouvertement. Et si, lui demeurant en Brettanie, cela fût arrivé pendant l'hiver, tout le pays eût été plein de troubles.

1. Le seul endroit guéable. — Cæsar, V, XVIII : Ripa autem erat *acutis sudibus præfixis* munita, ejusdemque generis *sub aqua defixæ sudes* flumine tegebantur.

V. Ἦρξαν δὲ τοῦ πολέμου τούτου Ἐβουρωνοί[1], ἡγουμένου σφίσιν Ἀμβιόριγος. Καὶ ἔλεγον μὲν τῇ παρουσίᾳ τῶν Ῥωμαίων, ὧν ὅ τε Σαβῖνος καὶ Λούκιος Κόττας ὑποστράτηγοι ἦρχον, ἀχθόμενοι κεκινῆσθαι · τὸ δ' ἀληθὲς ἐκείνων τε κατεφρόνησαν ὡς οὐχ ἱκανῶν ἀμῦναί σφας ἐσομένων, καὶ τὸν Καίσαρα οὐκ ἤλπισαν διὰ ταχέων σφίσιν ἐπιστρατεύσειν. Ἐπῆλθόν τε οὖν αὐτοῖς μὴ προσδεχομένοις ὡς καὶ αὐτοβοεὶ τὸ στρατόπεδον αἱρήσοντες, καὶ ἐπειδὴ διήμαρτον αὐτοῦ, πρὸς ἀπάτην ἐτράποντο. Τῶν γὰρ χωρίων τὰ ἐπιτηδειότατα ὁ Ἀμβιόριξ προλοχίσας, ἦλθεν ἐξ ἐπικηρυκείας πρὸς τοὺς Ῥωμαίους ὡς οὐχ ἑκὼν δὴ πολεμήσας, καὶ αὐτὸς μὲν μεταγιγνώσκειν ἔφη, τοὺς δ' ἄλλους φυλάττεσθαί σφισι παρῄνεσεν · οὔτε γὰρ αὐτῷ πειθαρχεῖν αὐτοὺς καὶ ἐκείνοις μέλλειν τῆς νυκτὸς ἐπιθήσεσθαι. Κἀκ τούτου καὶ γνώμην αὐτοῖς ἔδωκε τὴν μὲν Ἐβουρωνίαν, ὡς καὶ κινδυνεύσουσιν, ἂν καταμείνωσι, καταλιπεῖν, πρὸς δὲ συστρατιώτας[2] τινὰς πέλας που χειμάζοντας ὡς τάχιστα μεταστῆναι.

VI. Ἀκούσαντες δὲ ταῦτα οἱ Ῥωμαῖοι ἐπείσθησαν, ἄλλως τε καὶ ὅτι εὐηργέτητο πολλὰ ὑπὸ τοῦ Καίσαρος καὶ χάριν αὐτῷ τὰ ὑπεναντία διδόναι ἐδόκει. Συσκευασάμενοί τε σπουδῇ εὐθὺς ἀφ' ἑσπέρας[3] ἀφώρμησαν, καὶ

1. *Eburones* dans Cæsar, II, IV; IV, VI, etc. Anc. leçon Ἐβουρωνοὶ ἡγούμενοί σφισιν Ἀμβ., corrigée par Leunclavius. Tous les mss., à l'exception d'un seul, D, portent Ἀμβριόριγος.

2. *Vulg.* στρατιώτας, corrigé par Gros, Bekker d'après les mss. A, B, F.

3. On croit le texte altéré; Reimar et Gros proposent de lire ἀφ' ἡμέρας, au lieu de ἀφ' ἑσπέρας, en s'appuyant sur Cæsar, V, XXXI.

V. Ceux qui commencèrent cette guerre furent les Eburônes, conduits par Ambiorix. C'était, disaient-ils, la présence des Romains, sous le commandement des lieutenants Sabinus et Lucius Cotta, qui leur était importune, et les avait soulevés. La vérité est qu'ils les méprisaient, comme n'étant pas capables de se défendre, et qu'ils ne comptaient pas sur une prompte entrée de Cæsar en campagne contre eux. Ils marchèrent donc contre les Romains qui ne s'attendaient point à cette attaque, dans la pensée qu'ils n'auraient qu'à pousser leur cri [de guerre] pour enlever le camp ennemi. Mais ils manquèrent leur coup et recoururent à la ruse. Après avoir dressé des embûches dans les endroits qui s'y prêtaient le mieux, Ambiorix envoya un parlementaire aux Romains, et alla les trouver ensuite. — Ce n'était pas de son plein gré qu'il leur avait fait la guerre; il s'en repentait, leur disait-il, et il leur conseillait de se tenir en garde contre les autres. Ceux-là ne lui obéissaient pas, et devaient les attaquer la nuit. Son avis était donc qu'il leur fallait quitter l'Eburônie [1], où il y avait danger pour eux à séjourner, et se transporter au plus vite vers leurs compagnons d'armes en quartiers d'hiver près de là.

VI. Les Romains le crurent sur parole, surtout parce qu'il avait reçu de Cæsar de nombreux bienfaits, et qu'il paraissait, en lui rendant service, le payer de retour. Ayant plié bagage en toute hâte, ils

1. Ce mot est peut-être de l'invention de Dion ; il ne se trouve pas ailleurs.

ἐμπεσόντες ἐς τὰ λελοχισμένα δεινῶς ἐσφάλησαν · ὅ τε γὰρ Κόττας παραχρῆμα μετὰ πολλῶν ἀπώλετο · καὶ τὸν Σαβῖνον ὁ Ἀμβιόριξ μετεπέμψατο μὲν ὡς καὶ σώσων, οὔτε γὰρ τοῖς γιγνομένοις παρῆν, καὶ πιστὸς αὐτῷ καὶ τότε ἔτ' ἐδόκει εἶναι, συλλαβὼν δὲ δή, καὶ ἀποδύσας καὶ τὰ ὅπλα καὶ τὴν ἐσθῆτα, κατηκόντισεν, ἐπιλέγων ἄλλα τε καὶ « ὅτι τοιοίδε μέντοι ὄντες πῶς τηλικούτων ἡμῶν ὄντων ἄρχειν ἐθέλετε[1] ; » Οὗτοι μὲν δὴ ταῦτα ἔπαθον · οἱ δὲ λοιποὶ διέπεσον μὲν ἐς τὸ τάφρευμα ὅθεν ἀπανειστήκεσαν · ἐπεὶ δὲ οἵ τε βάρβαροι καὶ ἐκεῖ προσέμιξαν καὶ οὔτ' ἀμύνασθαι αὐτοὺς οὔτε διαφυγεῖν ἠδυνήθησαν, ἀλλήλους ἀπέκτειναν.

VII. Γενομένου δὲ τούτου, ἄλλοι τέ τινες τῶν πλησιοχώρων ἀπέστησαν καὶ Νερούιοι, καίτοι Κυίντου Κικέρωνος παρ' αὐτοῖς χειμάζοντος · ἀδελφὸς δὲ τοῦ Κικέρωνος τοῦ Μάρκου ἦν, ὑποστρατηγῶν τῷ Καίσαρι. (Leuncl., p. 124.) Καὶ αὐτοὺς ὁ Ἀμβιόριξ προσλαβὼν συνέβαλε τῷ Κικέρωνι · καὶ ἀγχώμαλα ἀγωνισάμενος, καί τινας καὶ ζῶντας ἑλών, ἀπατῆσαι μέν πῃ καὶ ἐκεῖνον ἐπεχείρησε, μὴ δυνηθεὶς δὲ ἔς τε πολιορκίαν κατέστησε, καὶ διὰ ταχέων ὑπό τε τῆς πολυχειρίας καὶ ὑπὸ ἐμπειρίας, ἣν ἐκ τῆς συστρατείας ἣν μετὰ τῶν Ῥωμαίων ἐπεποίητο ἐκέκτητο, καί τινα καὶ παρὰ τῶν αἰχμαλώτων ἂν ἑκάστων

1. Ces faits sont racontés différemment dans Cæsar, XXXVII : ..... jussus arma abjicere..... paulatim circumventus interficitur.

partirent le soir même[1], tombèrent dans les embuscades et éprouvèrent là un terrible échec. Cotta y périt sur-le-champ avec beaucoup d'autres. Quant à Sabinus, Ambiorix l'envoya chercher comme pour le sauver, car il n'était pas présent lors des derniers événements, et, même à cette heure, il paraissait encore digne de confiance. Mais il fit arrêter Sabinus, et l'ayant dépouillé de ses armes et de ses vêtements, il le perça de traits, en disant entre autres choses : « Eh quoi ! étant ce que vous êtes, vous voulez commander à des hommes tels que nous ? » — Voilà ce que ceux-là eurent à souffrir[2] ; le reste arriva dispersé dans les retranchements d'où ils étaient sortis ; mais comme les barbares vinrent les attaquer jusque-là, et qu'ils ne purent ni se défendre ni fuir, ils se tuèrent les uns les autres.

VII. Après cet événement, quelques autres peuples des pays voisins se révoltèrent, et dans le nombre les *Nervii*, bien que Quintus Cicéron eût chez eux ses quartiers d'hiver. — C'était le frère de Cicéron Marcus, et il commandait sous Cæsar. — Ambiorix les prit avec lui, se jeta sur Cicéron et, après une lutte presque égale où il fit quelques prisonniers, essaya de le tromper aussi. Mais n'ayant pas pu [y réussir], il le bloqua, et, grâce à la multitude de bras [qu'il avait à son service], à l'expérience qu'il avait acquise en marchant avec les armées romaines, à quelques renseignements qu'il obtenait de prisonniers questionnés isolément, il eut bientôt fait de l'enfermer dans un

1. V. la note 3 du texte, p. 302.
2. Ce passage et quelques autres montrent que Dion Cassius a puisé ailleurs que dans les *Commentaires*.

μαθών, καὶ ἀπεσταύρωσε καὶ ἀπετάφρευσεν. Ἐγίγνοντο μὲν γὰρ καὶ μάχαι, οἷα ἐν τῷ τοιούτῳ εἰκὸς ἦν, συχναί, καὶ ἀπώλλυντο πολὺ πλείους τῶν βαρβάρων, ἅτε καὶ πλείους ὄντες· οὐ μὴν ἀλλὰ αὐτοὶ μὲν ὑπὸ[1] τῆς περιουσίας τοῦ στρατοῦ οὐδὲ ἐν αἰσθήσει τοῦ φθειρομένου σφῶν ἦσαν· οἱ δὲ δὴ Ῥωμαῖοι μήτε ἄλλως πολλοὶ ὄντες καὶ ἐλάττους ἀεὶ γιγνόμενοι ῥᾳδίως περιεστοιχίσθησαν.

VIII. Κινδυνευόντων οὖν αὐτῶν ἁλῶναι, — οὔτε γὰρ τὰ τραύματα θεραπεύειν ἀπορίᾳ τῶν ἐπιτηδείων ἐδύναντο, οὔτε τὴν τροφὴν ἀφθόνως, ἅτε ἐν ἀδοκήτῳ πολιορκίᾳ, εἶχον· οὐδ' ἐπήμυνέ τις αὐτοῖς, καίτοι πολλῶν οὐκ ἄπωθεν χειμαζόντων· οἱ γὰρ βάρβαροι τὰς ὁδοὺς ἀκριβῶς φυλάσσοντες πάντας τοὺς ἐκπεμπομένους σφῶν συνελάμβανον κἀν τοῖς ὀφθαλμοῖς αὐτῶν ἐφόνευον, — Νερούιός τις εὐνοϊκῶς σφισιν ἐξ εὐεργεσίας ἔχων, καὶ τότε σὺν τῷ Κικέρωνι πολιορκούμενος, δοῦλόν τινα ἑαυτοῦ διάγγελον[2] αὐτῷ παρέσχεν· ἔκ τε γὰρ τῆς σκευῆς καὶ ἐκ τῆς φωνῆς τῆς ἐπιχωρίας ἠδυνήθη λαθεῖν συγγενόμενος τοῖς πολεμίοις, ὡς καὶ ἐξ αὐτῶν ὤν, καὶ μετὰ τοῦτο ἀποχωρήσας.

IX. Μαθὼν οὖν ὁ Καῖσαρ τὸ γιγνόμενον, οὐδέπω δὲ ἐς τὴν Ἰταλίαν ἀπεληλύθει, ἀλλ' ἔτ' ἐν ὁδῷ ἦν, ἀντέστρεψε, καὶ τοὺς ἐν τοῖς χειμαδίοις, δι' ὧν διῄει, στρατιώτας παραλαμβάνων ἠπείγετο. Κἂν τούτῳ φοβηθεὶς μὴ καὶ φθάσῃ ὁ Κικέρων ἀπογνώσει τῆς βοηθείας δεινόν τι

1. Anc. leçon περὶ τῆς περ. Leunclav. παρα τῆς π.; Rob. Estienne et Xyland. ὑπὸ τῆς π. adoptée par Bekker et Gros.
2. Anc. leçon ἄγγελον, corrigée par Rob. Estienne.

cercle de palissades et de fossés. Il y eut aussi des combats, et, comme il arrive en pareilles circonstances, des combats très fréquents. Les barbares y périrent en plus grand nombre parce qu'ils étaient plus nombreux. Toutefois, en raison de leur supériorité numérique, ces pertes ne leur étaient pas sensibles. Les Romains, au contraire, qui, en général, n'étaient pas nombreux, et qui le devenaient moins de jour en jour, furent aisément enveloppés.

VIII. Ils étaient en danger d'être pris. Car manquant de ce qui était nécessaire, ils ne pouvaient soigner leurs blessures, et bloqués à l'improviste, ils n'avaient pas des vivres en abondance, et ils ne leur venait aucun secours, quoique beaucoup des leurs en quartiers d'hiver ne fussent pas trop loin. Les barbares faisaient bonne garde sur toutes les routes, arrêtaient ceux qu'on leur envoyait et les massacraient sous leurs yeux. Un homme des *Nervii*[1] qui, en retour de quelque bienfait, leur était dévoué, et se trouvait alors bloqué avec Cicéron, lui offrit comme messager un de ses esclaves. Cet esclave, grâce à son accoutrement et à sa langue qui était celle du pays, put rester parmi les ennemis à leur insu, comme un des leurs, et se retirer ensuite.

IX. Instruit de ce qui se passait, Cæsar, qui n'était pas arrivé en Italie, mais était encore en route, retourna sur ses pas, et prenant avec lui les soldats en quartiers d'hiver sur son chemin, il pressa sa marche. Mais en même temps, dans la crainte que Cicéron, ne comptant plus sur un secours, n'éprouvât

1. Cæsar, V, XLV, XLIX, l'appelle Verticon.

παθὼν ἢ καὶ συνθέμενος, προέπεμψεν ἱππέα. Τῷ μὲν γὰρ οἰκέτῃ τῷ τοῦ Νερουίου, καίτοι πεῖραν ἔργῳ τῆς εὐνοίας αὐτοῦ λαβών, οὐκ ἐπίστευσε, μὴ καὶ τοὺς πατριώτας ἐλεήσας, μέγα τι κακόν σφας ἐξεργάσηται· ἐκ δὲ δὴ τῶν συμμάχων ἱππέα τήν τε διάλεκτον αὐτῶν εἰδότα καὶ τῇ στολῇ τῇ ἐκείνων σκευασθέντα ἔπεμψε. Καὶ ὅπως γε μηδ' αὐτός τι μήτ' οὖν ἐθελοντὴς μήτ' ἄκων ἐξείπῃ, οὔτε τι αὐτῷ ἐξελάλησε, καὶ τῷ Κικέρωνι πάνθ' ὅσα ἠβουλήθη ἑλληνιστὶ ἐπέστειλεν, ἵνα ἂν καὶ τὰ γράμματα ἁλῷ, ἀλλ' ἀσύνετά γε καὶ τότε τοῖς βαρβάροις ὄντα μηδέν σφας ἐκδιδάξῃ. Εἰώθει δὲ καὶ ἄλλως, ὁπότε τι δι' ἀπορρήτων τινὶ ἐπέστελλε, (Leuncl., p. 125) τὸ τέταρτον ἀεὶ στοιχεῖον ἀντὶ τοῦ καθήκοντος ἀντεγγράφειν [1], ὅπως ἂν ἄγνωστα τοῖς πολλοῖς ᾖ τὰ γραφόμενα. Ὁ δ' οὖν ἱππεὺς ἦλθε μὲν πρὸς τὸ τῶν Ῥωμαίων στρατόπεδον, μὴ δυνηθεὶς δ' ἐγγύθεν αὐτῷ προσμίξαι συνέδησε τὰ γράμματα ἀκοντίῳ, καὶ ὤσας [2] αὐτὸ ἐς τοὺς πολεμίους πρὸς πύργον ἐξεπίτηδες προσέπηξε. Καὶ ὁ μὲν Κικέρων οὕτω τὴν πρόσοδον τοῦ Καίσαρος μαθὼν ἀνεθάρσησε καὶ προθυμότερον διεκαρτέρησεν.

X. Οἱ δὲ δὴ βάρβαροι ἐπὶ πολὺ μὲν τὴν ἐπικουρίαν

1. Une phrase de Suétone, *Cæs.*, LVI, traduite peut-être par Dion, explique très bien celle-ci : « Si qua occultius perferenda erant, per notas scripsit, id est, sic structo litterarum ordine ut nullum verbum effici posset : quæ si quis investigare et persequi vellet, quartam elementorum litteram, id est *d* pro *a* et perinde reliquas commutet. — Aul.-Gell., XVII, 9, dit qu'il en usait ainsi dans les lettres qu'il écrivait à C. Oppius et Balbus Cornelius, chargés, en son absence, du soin de ses intérêts.

2. On a pensé avec raison (Fabric., Sturz) que le mot ὡς était tombé soit devant ὤσας, soit devant ἐς.

quelque malheur, ou ne traitât avant son arrivée, il lui envoya un cavalier. Bien que le domestique du Nervien lui eût donné par sa conduite la preuve de son dévouement, il ne se fia pas en lui ; il craignit que cet homme, par pitié pour ses compatriotes, ne fît beaucoup de mal aux Romains. Ce fut donc un cavalier pris parmi les alliés, sachant la langue des Galates (Gaulois) et portant leurs longues braies, qu'il envoya, et pour que ce messager ne parlât ni volontairement ni contre son gré, il ne lui donna aucun détail ; il manda en langue hellénique[1] à Cicéron ce qu'il voulait lui dire, afin que, si sa lettre était interceptée, comme cet idiome n'était pas alors compris des barbares, elle ne pût leur rien apprendre. En général, c'était sa coutume, quand il envoyait quelque message secret, d'écrire toujours à la place de la lettre qu'il fallait celle qui venait la quatrième après, afin que le vulgaire ne connût rien à ce qu'il écrivait. Le cavalier arrivé près du camp des Romains, n'ayant pu en approcher assez[2], lia la lettre à un javelot et, l'ayant lancé contre les ennemis, le fixa adroitement à une tour[3]. Cicéron, instruit ainsi de l'approche de Cæsar, reprit confiance et tint ferme avec plus de courage.

X. Les barbares ignorèrent longtemps les secours

1. *Græcis litteris,* dans Cæsar, *ibid.*, XLVIII, où Dübner dit qu'on peut entendre ces mots au même sens que Dion, *græca lingua.* Toutefois il ajoute : « Je reste dans le doute, malgré l'accord à peu près unanime des annotateurs. » — Cf. Polyæn., *Stratag.*, VIII, 23.

2. Il se conformait aux instructions que Cæsar lui avait données, *ibid.*

3. V. Cæsar, *ibid.*

αὐτοῦ ἠγνόησαν· νυκτοπορῶν γὰρ ἔπειτα τὰς ἡμέρας ἐν ἀφανεστάτοις χωρίοις ηὐλίζετο, ὅπως ἀπροσδοκήτοις ὅτι μάλιστα αὐτοῖς προσμίξῃ· ὀψὲ δέ ποτε ἐκ τῆς τῶν πολιορκουμένων περιχαρείας ὑποτοπήσαντες αὐτὴν, προσκόπους ἔπεμψαν, καὶ μαθόντες παρ' αὐτῶν πλησιάζοντα ἤδη τὸν Καίσαρα, ὥρμησαν ἐπ' αὐτὸν ὡς καὶ ἀνελπίστῳ οἱ προσπεσούμενοι. Προμαθὼν οὖν τοῦτ' ἐκεῖνος, τήν τε νύκτα κατὰ χώραν ἔμεινε, καὶ ὑπὸ τὴν ἕω χωρίον τι ἐρυμνὸν προκαταλαβὼν, ἐνταῦθα ὡς ἐν βραχυτάτῳ ἐστρατοπεδεύσατο τοῦ καὶ μετ' ὀλίγων εἶναι δοκεῖν, καὶ ἐκ τῆς πορείας πεπονῆσθαι τήν τε ἔφοδόν σφων δεδιέναι, κἀκ τούτου καὶ ἐς αὐτὸ τὸ μετέωρον αὐτοὺς ὑπαγαγέσθαι [1]. Καὶ ἔσχεν οὕτω· καταφρονήσαντες γὰρ αὐτοῦ διὰ ταῦτα, πρός τε τὸ ὄρθιον προσέβαλον καὶ μεγάλως ἔπταισαν, ὥστε μηκέτ' ἀντιπολεμῆσαι.

XI. Οὕτω μὲν οὖν τότε καὶ ἐκεῖνοι καὶ οἱ ἄλλοι πάντες ἐχειρώθησαν· οὐ μέντοι καὶ δι' εὐνοίας τοῖς Ῥωμαίοις ἦσαν. Οἱ γοῦν Τρηούιροι [2] φοβηθέντες, ἐπειδήπερ τοὺς παρ' ἑκάστοις ὁ Καῖσαρ μεταπέμπων ἐκόλαζε, μὴ καὶ αὐτοὶ δίκην δῶσιν, ἐξεπολεμώθησαν αὖθις, Ἰνδουτιομάρου [3] σφᾶς ἀναπείσαντος, καὶ συναποστήσαντες καὶ ἄλλους τινὰς τῶν τὰ αὐτὰ δεδιότων ἐπεστράτευσαν ἐπὶ τὸν Λαβιῆνον τὸν Τίτον ἐν Ῥημοῖς ὄντα, καὶ, ἐπεξελθόντων σφίσι παρὰ δόξαν τῶν Ῥωμαίων, ἐφθάρησαν. Ταῦτα μὲν ἐν τῇ Γαλατίᾳ ἐγένετο· καὶ ἐν αὐτῇ καὶ ὁ Καῖσαρ, ἐχεί-

1. Anc. leçon ἀπαγαγέσθαι, conservée par Gros, qui recommande en note celle que nous donnons d'après Reiske, Bekker et Dindorf.

2. A, H Τρηουήριοι, C, D Τριουηριοι.

3. A Ἰνδυοτιμάρου, D Ἰνδουτιμάρου, C, E, G, H, les anciens éditt. Ἰνδυοτιμάρους.

qu'on lui amenait ; car Cæsar marchait la nuit et bivouaquait le jour dans les lieux les moins en vue pour les attaquer le plus possible à l'improviste. Enfin la joie des assiégés leur donna à penser ; ils envoyèrent des éclaireurs, et ayant appris par eux que Cæsar approchait, ils coururent à sa rencontre, dans le dessein de tomber sur lui sans qu'il s'y attendît. Mais Cæsar, prévenu, passa la nuit à l'endroit où il était, et, dès l'aurore, ayant occupé une position facile à défendre, il y établit son camp sur un emplacement le plus étroit possible, afin de faire croire qu'il était là avec peu de monde, qu'il était fatigué de la route, qu'il craignait une attaque, et d'attirer par ce moyen les barbares jusque sur cette hauteur. Et il en fut ainsi. Pour toutes ces raisons, les barbares le méprisèrent ; ils se lancèrent sur la montée, et éprouvèrent un si grand échec qu'ils ne guerroyèrent plus contre lui.

XI. C'est ainsi qu'alors ces peuples-là [1] et tous les autres furent domptés ; ils ne furent pas pour cela bien traités des Romains. Aussi, comme Cæsar mandait auprès de lui les chefs de chacun d'eux et les châtiait [2], les Trévires, craignant d'être aussi punis, recommencèrent la guerre à l'instigation d'Indutiomare, et ayant fait en outre révolter quelques autres peuples qui avaient les mêmes craintes, ils marchèrent en armes contre Labiènus Titus alors chez les Rèmes. Mais les Romains tombèrent sur eux à l'improviste, et ils furent écrasés. — Voilà ce qui se passa dans la Galatie (Gaule) [3]. Cæsar y resta lui-même l'hiver, dans

1. Les *Nervii*.
2. Cæsar, *ibid.*, LIII.
3. An de Rome 700, av. J.-C. 54.

μασεν, ὡς καὶ ἀκριβῶς σφᾶς καταστήσασθαι δυνησομένους.

XXXI. (Leuncl., p. 134.) Ἐν δὲ τῷ αὐτῷ ἐκείνῳ χρόνῳ καὶ ὁ Καῖσαρ τὰ ἐν τῇ Γαλατίᾳ ταραχθέντα αὖθις μάχαις κατέλαβε, πολλὰ πάνυ τὰ μὲν αὐτὸς τὰ δὲ καὶ διὰ τῶν ὑποστρατήγων πράξας, ὧν ἐγὼ τὰ ἀξιολογώτατα διηγήσομαι μόνα. Ὁ γὰρ Ἀμβιόριξ τοὺς Τρηουίρους[1] χαλεπῶς ἔτι καὶ τότε τῷ τοῦ Ἰνδουτιομάρου (Leuncl., p. 135) θανάτῳ ἔχοντας παραλαβών, τά τε αὐτόθεν ἐπὶ πλεῖον συνέστησε καὶ παρὰ τῶν Κελτῶν μισθοφορικὸν μετεπέμψατο. Βουληθεὶς οὖν ὁ Λαβιῆνος, πρὶν ἐκείνους ἐπελθεῖν, συμμίξαι σφίσι, προενέβαλεν ἐς τὴν τῶν Τρηουίρων χώραν. Καὶ ἐπειδὴ μὴ ἠμύνοντο τὴν ἐπικουρίαν ἀναμένοντες, ἀλλὰ ποταμόν τινα διὰ μέσου ποιησάμενοι ἡσύχαζον, συνεκάλεσε τοὺς στρατιώτας, καὶ ἐδημηγόρησε τοιάδε ἀφ' ὧν τούς τε σφετέρους καταπλήξειν καὶ ἐκείνους.....[2] ἔμελλε· χρῆναί τέ σφας ἔλεγε, πρὶν τοὺς Κελτοὺς αὐτοῖς ἀπαμῦναι, πρός τε τὸν Καίσαρα καὶ ἐς τὸ ἀσφαλὲς ἀποχωρῆσαι, ἐσήμηνέ τε[3] εὐθὺς συσκευάσασθαι. Καὶ ἐξανέστη οὐ πολλῷ ὕστερον, προσδοκήσας ἔσεσθαι τοῦτο ὃ καὶ ἐγένετο. Οἱ γὰρ βάρβαροι ἀκούσαντες ταῦτα — ἦν γὰρ αὐτοῖς ἐπιμελές, καὶ δι' αὐτό γε τοῦτο καὶ φανερῶς ἐλέχθη — δεδιέναι τε αὐτὸν ὄντως καὶ φυγὴν ὡς ἀληθῶς ποιεῖσθαι ἐπίστευσαν, καὶ τὸν ποταμὸν

1. Les mss. Τριούρους, Leuncl. Τριουήρους, ici et ailleurs, toujours suivi par D. Bouquet et par Gros.

2. Lacune. Leunclavius, suivi par D. Bouquet, la remplit en ajoutant le mot θαρσήσειν entre ἐκείνους et ἔμελλε ; Gros met entre crochets θαρσυνεῖν, proposé par Reimar et adopté par Sturz.

3. Anc. leçon σημῆναί τε conservée par Reim. et Sturz.

la pensée qu'il pourrait y établir un ordre régulier.

XXXI. Dans ce même temps[1], Cæsar reconquit par des batailles les contrées de la Galatie (Gaule) encore troublées, faisant beaucoup soit par lui-même, soit aussi par ceux qui commandaient sous lui. De ces exploits je raconterai seulement les plus considérables. Les Trèvires avaient encore sur le cœur la mort d'Indutiomare : Ambiorix en fit ses alliés, augmenta les forces qui lui venaient de là, et appela des mercenaires de chez les Celtes (Germains). Labiènus, voulant se rencontrer avec eux avant l'arrivée de ces derniers, prit les devants et se jeta sur le pays des Trèvires. Comme ils ne se défendaient point parce qu'ils attendaient des secours ; comme d'ailleurs, ayant mis un fleuve entre eux et l'ennemi, ils se tenaient tranquilles, Labiènus convoqua ses soldats et les harangua de la même façon que s'il eût voulu abattre leur courage et donner de la confiance à l'ennemi ; — il fallait, leur dit-il, prévenir l'arrivée des Celtes (Germains) auxiliaires, se retirer auprès de Cæsar et dans un lieu sûr ; — et il leur donna l'ordre de plier bagage sur-le-champ ; il leva le camp peu après, s'attendant bien à ce qui, en effet, arriva. Car les barbares ayant appris ce qu'il avait dit, — l'espionnage était pratiqué chez eux, et c'est même pour cela que ces paroles avaient été prononcées en public, — crurent de bonne foi qu'il avait eu peur et qu'il avait fui pour tout de bon. Ils passèrent donc le fleuve à la hâte, marchant

1. Au temps de la guerre contre les Parthes, sous les consuls L. Domitius et Appius Claudius. — An de Rome 700, av. J.-C. 54.

σπουδῇ διαβάντες θυμῷ ἐπ' αὐτοὺς ἐχώρουν, ὡς τάχους ἕκαστος εἶχε. Καὶ οὕτως ὁ Λαβιῆνος ὑπέστη τέ σφας ἐσκεδασμένους, καὶ τοὺς πρώτους ἐκπλήξας ῥᾳδίως καὶ τοὺς λοιποὺς δι' αὐτῶν ἐκείνων ἐτρέψατο · κἀκ τούτου φευγόντων τέ σφων τεταραγμένως καὶ ἀλλήλοις ἐμπιπτόντων καὶ πρὸς τὸν ποταμὸν ὠθουμένων πολλοὺς ἀπέκτεινε.

XXXII. Διαφυγόντων τε καὶ ὣς συχνῶν, ὁ Καῖσαρ τῶν μὲν ἄλλων οὐδένα λόγον ἐποιεῖτο, τὸν δὲ Ἀμβιόριγα διαδιδράσκοντα ἄλλοτε ἄλλῃ καὶ πολλὰ κακουργοῦντα καὶ ζητῶν καὶ διώκων πράγματα ἔσχε. Καὶ ἐκεῖνον μὲν οὐδένα τρόπον λαβεῖν ἠδυνήθη · ἐπὶ δὲ δὴ τοὺς Κελτοὺς ὡς καὶ τοῖς Τρηουίροις βοηθῆσαι ἐθελήσαντας ἐστράτευσε. Καὶ ἔπραξε μὲν οὐδὲ τότε οὐδέν, ἀλλὰ καὶ διὰ ταχέων φόβῳ τῶν Σουήβων ἐπανεχώρησεν, ἔδοξε δ' οὖν καὶ αὖθις τὸν Ῥῆνον διαβεβηκέναι, καὶ τῆς τε γεφύρας μόνα τὰ προσεχῆ τοῖς βαρβάροις ἔλυσε, καὶ φρούριον ἐπ' αὐτῆς ὡς καὶ ἀεὶ διαβησείων ᾠκοδόμησε. Καὶ μετὰ τοῦτο ὀργῇ τὴν τοῦ Ἀμβιόριγος διάφευξιν φέρων, τὴν πατρίδα αὐτοῦ καίτοι μηδὲν νεωτερίσασαν διαρπάζειν τοῖς βουλομένοις ἐπέτρεψε, προεπαγγείλας σφίσιν αὐτὸ τοῦθ' ὅπως ὅτι πλεῖστοι συνέλθωσιν · ὅθενπερ πολλοὶ μὲν Γαλάται, πολλοὶ δὲ καὶ Σύγαμβροι[1] πρὸς τὰς ἁρπαγὰς ἦλθον. Οὐ μέντοι καὶ ἀπέχρησε[2] τοῖς Συγάμβροις τὰ ἐκείνων λήσασθαι, ἀλλὰ καὶ αὐτοῖς τοῖς Ῥωμαίοις ἐπέθεντο · τηρήσαντες γάρ σφας πρὸς σίτου κομιδὴν ἀπιόντας, ἐπεχείρησαν τῷ στρατοπέδῳ αὐτῶν, κἀν τούτῳ προσβοηθησάντων[3]

1. Ici et plus bas E Σύγγαμβροι, A, B, F Σύγαβροι.
2. *Vulg.* ἀπεχώρησε, corrigé depuis Rob. Estienne.
3. Mot tronqué dans les mss. où on lit προσβοησαντων, rétabli par Rob. Estienne.

avec courage contre les ennemis, chacun aussi vite qu'il pouvait. Mais Labiènus fit ferme quand il les vit ainsi dispersés, frappa facilement de terreur les premiers [qu'il rencontra], et par ceux-là fit tourner le dos à tout le reste. Dans cette fuite pleine de trouble, comme ils tombaient les uns sur les autres et se poussaient vers le fleuve, il en tua une multitude.

XXXII. Il s'en était pourtant échappé un bon nombre. Cæsar ne fit aucun état des autres[1]; mais Ambiorix qui fuyait tantôt d'un côté, tantôt de l'autre, multipliant ses méchantes pratiques, il mit tout en œuvre pour le chercher et le poursuivre. Mais il ne put aucunement le prendre, et, comme les Celtes (Germains) avaient voulu secourir les Trèvires, il tourna contre eux ses armes. Et, en vérité, il ne fit rien alors, et même par crainte des Suèves, il revint vite sur ses pas : mais il fit croire qu'il avait une seconde fois passé le Rhèn. Il rompit seulement du pont la partie attenante aux barbares, et comme s'il avait envie de le passer toujours, il y contruisit un fort. Après cela, mis en colère par la fuite d'Ambiorix, il abandonna la patrie de ce chef, laquelle pourtant n'avait nullement remué, à qui la voudrait piller, donnant toute publicité à cette permission pour qu'il y allât le plus de mónde possible. Aussi y vint-il pour ce pillage des Galates (Gaulois) en foule, en foule aussi des Sygambres. Cependant il ne suffit pas aux Sygambres d'avoir fait de l'Eburônie leur proie ; ils s'attaquèrent même aux Romains. Ayant observé le moment où ceux-ci étaient sortis pour ramasser des

1. An de Rome 701, av. J.-C. 53.

σφῶν, ἐπείπερ ᾔσθοντο, συχνοὺς ἐφόνευσαν· (Leuncl., p. 136) καὶ οἱ μὲν φοβηθέντες διὰ τοῦτο τὸν Καίσαρα οἴκαδε σπουδῇ ἀνεχώρησαν· ἐκεῖνος δὲ τούτων μὲν οὐδενός, διά τε τὸν χειμῶνα καὶ διὰ τὸ τὰ ἐν τῇ Ῥώμῃ στασιάζεσθαι, οὐδεμίαν τιμωρίαν ἐποιήσατο, τοὺς δὲ δὴ στρατιώτας πρὸς τὰ χειμάδια διαπέμψας, αὐτός τε ἐς τὴν Ἰταλίαν, πρόφασιν μὲν τῆς ἐκεῖ Γαλατίας ἕνεκα, τὸ δ' ἀληθὲς ὅπως ἐγγύθεν τοῖς ἐν τῇ πόλει δρωμένοις ἐφεδρεύῃ, ἀπῆλθε.

XXXIII. Κἀν τούτῳ οἱ Γαλάται αὖθις ἐνεόχμωσαν. Ἀρουερνοὶ γάρ, ἡγουμένου σφῶν Οὐερκιγγετόριγος[1], ἀπέστησαν, καὶ τούς τε Ῥωμαίους, ὅσους ἔν τε τῇ χώρᾳ σφῶν εὗρον, πάντας ἀπέκτειναν, καὶ ἐπὶ τὴν συμμαχίδα αὐτῶν χωρήσαντες, τοὺς μὲν συναποστῆναί σφισιν ἐθελήσαντας περιεῖπον, τοὺς δὲ λοιποὺς ἐκακούργουν. Μαθὼν οὖν ταῦθ' ὁ Καῖσαρ ἀνεκομίσθη, καὶ καταλαβὼν αὐτοὺς ἐς Βιτούριγας[2] ἐμβεβληκότας, ἐκείνοις μέν — οὐ γάρ πω πάντες οἱ στρατιῶται αὐτοῦ παρῆσαν — οὐκ ἐπήμυνεν, ἐς δὲ δὴ τὴν Ἀρουερνίδα ἀντεμβαλὼν ἐπανήγαγεν οἴκαδε τοὺς πολεμίους, καὶ οὐ γὰρ ἐδόκει πω ἀξιόμαχος αὐτοῖς εἶναι, προαπεχώρησεν.

XXXIV. Αὖθις οὖν ἐκεῖνοι πρός τε τοὺς Βιτούριγας ἐπανῆλθον, καὶ πόλιν αὐτῶν Ἀουαρικὸν[3] ἑλόντες ἐπὶ πλεῖστον ἐν αὐτῇ ἀντέσχον. Ὕστερον δὲ ὑπὸ τῶν Ῥωμαίων

1. A, C, D, E Οὐερνιγγετόριγος, H Οὐερκιντετόριγος.

2. Nom altéré dans presque tous les mss. Ἰουτούριγας ou Ἰουρτούριγας qui se lit encore dans Leuncl. et D. Bouquet.

3. Nom singulièrement corrompu dans les mss. Presque tous : Εὐακόν (Leuncl., D. Bouq.); un seul, G, Ἀακόν. On l'a rétabli d'après Cæsar.

vivres, ils assaillirent leur camp, et comme les Romains qui s'en étaient aperçus vinrent pour le défendre, ils en tuèrent une foule. Et redoutant Cæsar après cette prouesse, ils se retirèrent en toute hâte dans leurs foyers. Mais lui, à cause de l'hiver et des séditions qui s'agitaient à Rome, il n'en tira aucune vengeance ; il envoya ses soldats dans leurs quartiers d'hiver, et s'en alla en Italie, en apparence pour les intérêts de la Galatie (Gaule) de là-bas, mais en réalité pour être à l'affût de ce qui se faisait dans la ville.

XXXIII[1]. A ce moment, les Galates (Gaulois) remuèrent encore. Les Arvernes, conduits par Vercingétorix, se révoltèrent et massacrèrent tous les Romains qu'ils trouvèrent dans leurs villes et sur leur territoire ; puis, entrant dans les pays alliés de Rome, ils furent pleins d'égards pour ceux qui voulurent bien se révolter avec eux, mais ils maltraitèrent tous les autres. Cæsar l'apprend ; il revient sur ses pas et surprend les Arvernes au milieu de leur invasion chez les Bituriges. Comme il n'avait pas encore tous ses soldats auprès de lui, il ne peut les défendre, mais se jetant à son tour dans l'Arvernide, il ramène ainsi les barbares chez eux et, ne se jugeant pas encore de force à combattre, il se retire.

XXXIV. Alors les Arvernes revinrent chez les Bituriges et, ayant pris leur ville d'Avaricum, ils y tinrent longtemps[2]. Plus tard, ils y furent assiégés par les

1. An de Rome 702, av. J.-C. 52.

2. « Plutarque, *Cæsar*, xxv, ne donne qu'un exposé sommaire du soulèvement de la Gaule sous la conduite du Vercingétorix. Il ne parle ni du pillage de Gènabum, ni de la prise d'Avaricum. » Gros. Tous ces faits étaient racontés en détail par Tite-Live. V. l'*Epitomé*, cvii.

πολιορκούμενοι, τό τε γὰρ τεῖχος δυσπρόσιτον ἦν, τῇ μὲν ἑλῶν δυσδιαβάτων, τῇ δὲ ποταμοῦ ῥοώδους αὐτὸ περιέχοντος, καὶ αὐτοὶ παμπληθεῖς ὄντες τάς τε προσβολάς σφων ῥᾳδίως ἀπεκρούοντο, καὶ ἐπεξιόντες πολλὰ αὐτοὺς ἐλύπουν. Καὶ τέλος τά τε πέριξ πάντα, οὐχ ὅπως ἀγροὺς ἢ κώμας, ἀλλὰ καὶ πόλεις ἀφ' ὧν ὠφέλειάν τινα ἔσεσθαί σφισι προσεδόκων, κατέφλεξαν, εἴ τέ τι παρὰ τῶν πόρρωθεν συμμάχων ἐκομίζετο αὐτοῖς, διήρπαζον, ὥστε πολιορκεῖν τὴν πόλιν τοὺς Ῥωμαίους δοκοῦντας τὰ τῶν πολιορκουμένων πάσχειν· πρὶν δὴ ὑετός τε λάβρος καὶ πνεῦμα μέγα προσβάλλουσί πῃ αὐτοῖς ἐπιγενόμενον — ὁ γὰρ χειμὼν ἐνειστήκει, — πρώτους μὲν ἐκείνους ἀπήλασε, καὶ ἐς τὰς σκηνὰς ἐπανήγαγεν, ἔπειτα δὲ καὶ τοὺς βαρβάρους ἐς τὰς οἰκίας[1] κατέκλεισεν. Ἀπελθόντων γὰρ αὐτῶν ἀπὸ τῶν ἐπάλξεων, οἱ Ῥωμαῖοι προσέβαλον ἐξαίφνης αὖθις αὐταῖς ἐρήμοις ἀνδρῶν οὔσαις· καὶ πύργον τινὰ παραχρῆμα, πρὶν καὶ αἰσθέσθαι τοὺς πολεμίους τῆς παρουσίας σφῶν, ἑλόντες, ἔπειτα καὶ τὰ λοιπὰ οὐ χαλεπῶς ἐχειρώσαντο, καὶ τήν τε πόλιν πᾶσαν διήρπασαν, καὶ τοὺς ἀνθρώπους πάντας ὀργῇ τῆς τε προσεδρείας καὶ τῆς ταλαιπωρίας ἔσφαξαν.

XXXV. (Leuncl., p. 137.) Πράξας δὲ ταῦτα ὁ Καῖσαρ ἐπὶ τὴν χώραν αὐτῶν ἐπεστράτευσε. Καὶ ἐπειδὴ πολεμούμενοι τὰς γεφύρας οἱ λοιποὶ Ἀρουερνοὶ προεκεκρατήκεσαν, δι' ὧν διαβῆναι αὐτὸν ἐχρῆν, ἀπορήσας ὅπως περαιωθῇ, ἐπιπαρῆλθεν ἐπὶ πολὺ παρὰ τὴν ὄχθην[2], εἴ πως

1. *Vulgo* εἰς τὰς οἰκίας; nous donnons la leçon de A, F, adoptée par Sturz, Bekker et Dindorf.

2. C, D, H, παρὰ τὰς ὄχθας.

Romains; mais les murs n'étaient pas d'un accès facile : d'un côté, des marais difficiles à traverser, de l'autre, un fleuve rapide les entouraient. Puis, comme ils étaient très nombreux, ils repoussaient aisément les attaques, et leurs sorties tourmentaient fort les assiégeants. Enfin ils brûlèrent tout le pays d'alentour, je ne dis pas seulement les campagnes et les bourgades, mais les villes d'où ils pensaient que les Romains pouvaient tirer quelques secours ; et si de loin leurs alliés leur faisaient quelques envois, ils les pillaient. Et ainsi les Romains, qui paraissaient assiéger la ville, souffraient tous les maux qu'endurent des assiégés. Mais avant [qu'ils en vinssent là], une pluie violente et un grand vent, survenus pendant qu'ils donnaient l'assaut sur un point — on était tout près de l'hiver — chassèrent les Romains d'abord et les ramenèrent sous leurs tentes, puis enfermèrent aussi les barbares dans leurs maisons. A peine sont-ils partis, que les Romains donnent soudain un nouvel assaut aux remparts dégarnis d'hommes, et sur-le-champ s'emparent d'une tour, avant même que les ennemis se soient aperçus de leur présence. Le reste de la ville tomba sans difficulté entre leurs mains ; ils la livrèrent tout entière au pillage, et, irrités de ce siège et de ses misères, ils en égorgèrent tous les habitants.

XXXV. Cela fait, Cæsar marcha avec son armée vers le pays des Arvernes. Les autres Arvernes, intéressés dans cette guerre, avaient d'avance occupé les ponts[1] par où il lui fallait passer. Aussi ne sachant comment traverser [le fleuve], il chemina longtemps le long de la rive, cherchant s'il n'y aurait pas quelque

1. De l'Allier.

ἐπιτηδείου τινὸς χωρίου ὥστε πεζῇ δι' αὐτοῦ τοῦ ὕδατος διελθεῖν λάβοιτο. Κὰκ τούτου ἔν τε ὑλώδει τινὶ καὶ <ἐν> συσκίῳ τόπῳ γενόμενος, τὰ μὲν σκευοφόρα καὶ τοῦ στρατοῦ τὸ πλεῖον προέπεμψε, μακρὰν ἐκτεταμένῃ [1] τάξει κελεύσας αὐτοὺς προϊέναι, ὥστε καὶ πάντας σφᾶς ἐνταῦθα εἶναι δοκεῖν· αὐτὸς δὲ μετὰ τῶν ἐρρωμενεστάτων ὑπέμεινε, καὶ ξύλα τε ἔτεμε καὶ σχεδίας ἐποίησε καὶ ἐπ' αὐτῶν διέβη τὸ ῥεῦμα, τῶν βαρβάρων πρός τε τοὺς ἐν τῷ πρόσθεν πορευομένους τὸν νοῦν ἐχόντων καὶ τὸν Καίσαρα μετ' αὐτῶν εἶναι λογιζομένων. Καὶ μετὰ τοῦτο τούς τε προεληλυθότας νυκτὸς ἀνεκαλέσατο, καὶ διαβιβάσας αὐτοὺς ὁμοίως τῆς μὲν χώρας ἐκράτησε, τῶν δ' ἀνθρώπων ἐς Γεργοουίαν [2] συγκαταφυγόντων καὶ ἐκεῖσε πάντα τὰ τιμιώτατά σφισι συγκομισάντων, πλεῖστον πόνον μάτην αὐτοῖς προσεδρεύων ἔσχε.

XXXVI. Τό τε γὰρ φρούριον ἐπί τε λόφου καρτεροῦ ἦν καὶ τείχεσιν ἰσχυρῶς ἐκεκράτυντο, καὶ οἱ βάρβαροι πέριξ αὐτὸ πάντα τὰ μετέωρα κατειληφότες περιεφρούρουν, ὥστε καὶ μένειν αὐτοῖς κατὰ χώραν ἀσφαλῶς ὑπάρχειν καὶ ἐπικαταθέουσι πλεονεκτεῖν τὰ πλείω. Ἔν τε γὰρ πεδίῳ ὁ Καῖσαρ ηὐλίζετο, οὐ γὰρ εὐπόρησεν ἐχυροῦ χωρίου, καὶ αὐτὸς μὲν οὔτε προεγίγνωσκεν [3] · οἱ δὲ δὴ βάρβαροι, ὡς καὶ ὑπερδεξίως ὄντες, τό τε στρατόπεδον αὐτοῦ κατε-

1. Anc. leçon (Leuncl., D. Bouq., etc.) μακρᾷ ἐκτεταμένῃ, corrigée par Reimar. Rob. Estienne proposait μακρᾷ καὶ ἐκτεταμένῃ.

2. Nom très altéré dans les mss. On en avait tiré la leçon Γοργοθυῖαν, corrigée d'après Cæsar, VII, IV, XXXIV, XXXVI, etc., *Gergovia,* et Strabon, IV, II, 3.

3. Leuncl. καὶ αὐτὸς μὲν οὔτε προσεγιγνωσκεν..... κατεθέοντο, texte altéré qu'il proposait de corriger ainsi : καὶ αὐτὸς μὲν οὔτε τι προεγίγνωσκεν..... κατεθεῶντο. Bekker et Gros remplacent seulement οὔτε par οὔ τι.

endroit commode dont il pût se saisir pour passer à gué. Arrivé dans un lieu boisé et plein d'ombre, il envoie en avant ses bagages et la plus grande partie de son armée, avec ordre d'avancer en longues files, de façon à faire croire que toute l'armée était là. Quant à lui, il fait halte avec ses hommes les plus robustes, coupe des bois et construit des radeaux, sur lesquels il passe la rivière, tandis que les barbares donnent toute leur attention aux troupes en marche, comptant bien que Cæsar était avec elles. Or, pendant la nuit, il rappelle celles qui étaient allées en avant, et les ayant fait passer de la même manière que les autres, il reste maître du pays. Mais la population s'était réfugiée dans Gergovie, emportant avec elle ce qu'elle avait de plus précieux ; il assiégea donc cette place, et se donna beaucoup de peine en pure perte.

XXXVI. La forteresse était située sur une colline dominant le pays, et munie de solides murailles. Les barbares avaient occupé toutes les hauteurs environnantes, avec de bons postes à l'entour, si bien qu'il leur était possible d'y rester sans danger et d'en descendre en gardant le plus souvent l'avantage[1]. Cæsar, en effet, s'était campé dans la plaine, n'ayant pas eu à sa portée une position sûre, et ainsi il ne pouvait rien savoir d'avance. Les barbares, au contraire, bien postés sur les hauteurs, avaient vue dans son camp

1. Florus, III, 10, qui résume assez exactement la conquête des Gaules, confond ici Gergovie et Alésia : Circa Gergoviam Arvernorum tota belli moles fuit. Il a placé auparavant les sièges d'Avaricum et d'Alésia, après avoir écrit : tum ipsa capita belli (Cæsar) aggressus urbes.....

θεῶντο καὶ ταῖς καταδρομαῖς ἐπικαίροις ἐχρῶντο· εἴ τε πῃ περαιτέρω τοῦ καιροῦ προχωρήσαντες ἀνεκόπτοντο [1], δι' ὀλίγου αὖθις ἐντὸς τῆς ἐπικρατείας σφῶν ἐγίγνοντο· οἱ γὰρ Ῥωμαῖοι οὐδένα τρόπον, ἐφ' ὅσον οἵ τε λίθοι καὶ τὰ ἀκόντια ἐξικνεῖτο, πελάσαι τοῖς χωρίοις ἐδύναντο. Ὁ οὖν Καῖσαρ, ἐπειδὴ ὅ τε χρόνος ἄλλως ἀναλοῦτο, καὶ πολλάκις καὶ πρὸς αὐτὸ τὸ ὄρθιον, ἐφ' οὗ τὸ πόλισμα ἦν, προσβαλὼν μέρους μέν τινος ἐκράτησεν αὐτοῦ, ὥστε καὶ ἐντειχίσασθαί τι, ῥᾴω τε ἐκεῖθεν τὴν ἐπὶ τἄλλα ἔφοδον ποιεῖσθαι, τὸ δ' ὅλον ἀπεκρούετο, καὶ τῶν τε στρατιωτῶν συχνοὺς ἀπέβαλλε καὶ ἐκείνους ἀλήπτους ἑώρα ὄντας· τά τε τῶν Αἰδούων ἐν τούτῳ ἐκινήθη, καὶ προσέτι καὶ πρὸς τούτους ἀπελθόντος αὐτοῦ, κακῶς οἱ καταλειφθέντες ἀπήλλαξαν· ἀνέστη [2].

XXXVII. Οἱ γὰρ Αἴδουοι κατ' ἀρχὰς μὲν ταῖς τε ὁμολογίαις ἐνέμειναν καὶ ἐπικουρίας αὐτῷ ἔπεμπον, (Leuncl., p. 138) ἔπειτα δὲ καὶ ἄκοντες ἐπολέμησαν, ἀπατησάντων σφᾶς ἄλλων τε καὶ Λιταουίκου. Ἐπειδὴ γὰρ οὐκ ἔπειθεν αὐτοὺς ἄλλως τοῦτο ποιῆσαι, διεπράξατο προσταχθῆναί οἱ πρὸς τὸν Καίσαρα ἀπαγαγεῖν τινας ἐπὶ συμμαχίᾳ δῆθεν αὐτοῦ, καὶ ὥρμησε μὲν ὡς καὶ τοῦτο ποιήσων, προπέμψας δὲ ἱππέας, καὶ κελεύσας τισὶν αὐτῶν ἐπανελθοῦσιν εἰπεῖν ὅτι οἵ τε συμπεμφθέντες σφίσι καὶ οἱ ἄλλοι οἱ παρὰ τοῖς Ῥωμαίοις σφῶν ὄντες συνειλημμένοι τε ὑπ' αὐτῶν εἰσι καὶ ἀπολώλασι, προσπαρώξυνε τοὺς στρατιώτας δημηγορήσας ἀκόλουθα τοῖς ἀγγέλοις. Καὶ οὕτως αὐτοί τε

1. Anc. leçon ἀνέκοπτον, maintenue par Reimar, corrigée par Reiske.

2. Bekker ἀπανέστη ; Gros, d'après Fabricius, ἀπέστη.

et profitaient des moments opportuns pour courir sur lui. Si parfois, pour s'être avancés plus qu'il n'était opportun, ils reculaient, il leur fallait peu de temps pour rentrer dans les limites où ils étaient maîtres. Car les Romains ne pouvaient d'aucune façon en approcher à la distance où arrivaient les pierres et les traits. Cæsar, dont le temps se dépensait en vain, en assaillant à plusieurs reprises et par ses pentes roides la colline où était bâtie la citadelle, s'était bien emparé d'une partie de ces hauteurs ; il y avait même fait un mur, et partait de là pour attaquer plus aisément le reste ; mais, au total, il était repoussé ; il perdait ainsi beaucoup de ses soldats, et voyait que la place était imprenable. Juste à ce moment, les Ædues remuèrent, et de plus, il partit pour se rendre chez eux ; alors les troupes qu'il laissait derrière lui réussirent mal : il leva le siège.

XXXVII. Les Ædues, au commencement, restaient fidèles aux traités ; ils lui envoyaient des auxiliaires ; mais ensuite ils lui firent la guerre même malgré eux, ayant été trompés par Litavicos et par d'autres[1]. Celui-ci, ne pouvant leur persuader autrement d'agir ainsi, fit tant et si bien qu'il fut chargé de conduire à Cæsar certaines troupes, en raison de leur alliance. Il partit comme pour faire ce service, envoya en avant les cavaliers, après avoir donné à quelques-uns l'ordre de revenir dire que ceux qui avaient été envoyés avec eux, et les autres qui étaient chez les Romains, avaient été pris et mis à mort ; et il exaspéra les soldats par une harangue, suite naturelle de ces nouvelles. Et ainsi ces

1. Litaviccus dans Cæsar, VII, XXXVII, XXXVIII, etc., édit. Jannettaz.

ἐπανέστησαν καὶ τοὺς ἄλλους συμμετέστησαν. Καὶ τότε μέν, ὁ γὰρ Καῖσαρ ὡς τάχιστα τοῦτ' ᾔσθετο, τούς τε Αἰδούους οὓς εἶχε καὶ ἐδόκει πεφονευκέναι, ἔπεμψεν αὐτοῖς, ὥστε φανεροὺς πᾶσι ζῶντας γενέσθαι, καὶ τῷ ἱππικῷ ἐφέσπετο [1], μετενόησαν καὶ συνηλλάγησαν.

XXXVIII. Αὖθις δὲ τῶν Ῥωμαίων πρός τε [τῇ Γεργοουίᾳ τῇ] [2] τοῦ Καίσαρος ἀπουσίᾳ πταισάντων, καὶ μετὰ τοῦτο παντάπασιν ἀπ' αὐτῆς ἀποχωρησάντων, ἐφοβήθησαν οἱ τήν τε ἐπανάστασιν πράξαντες καὶ νεωτέρων ἀεὶ πραγμάτων ἐφιέμενοι μὴ σχολάζοντες [3] ποιήσωνται, καὶ ἐνεόχμωσαν. Μαθόντες δὲ τοῦθ' οἱ στρατεύοντες αὐτῶν τῷ Καίσαρι ᾐτήσαντο ἐπιτραπῆναί σφισιν οἴκαδε ἀπελθεῖν, ὑποσχόμενοι πάντα καταστήσειν. Καὶ οὕτως ἀφεθέντες πρός τε Νοουιοδουνόν, ἔνθα τά τε χρήματα καὶ τὸν σῖτον ὁμήρους τε πολλοὺς οἱ Ῥωμαῖοι κατετέθειντο, ἦλθον, καὶ τούς τε φρουροὺς αὐτῶν, συναιρομένων σφίσι τῶν ἐπιχωρίων, μὴ προσδεχομένους ἔφθειραν, καὶ ἐν κράτει πάντων αὐτῶν ἐγένοντο. Καὶ ἐκείνην τε τὴν πόλιν ἐπίκαιρον οὖσαν κατέπρησαν, ὅπως μὴ οἱ Ῥωμαῖοι ὁρμητήριον αὐτὴν τοῦ πολέμου ποιήσωνται, καὶ τὰ λοιπὰ τῶν Αἰδούων προσαπέστησαν. Ὁ οὖν Καῖσαρ ἐπεχείρησε μὲν παραχρῆμα ἐπ' αὐτοὺς στρατεῦσαι, μὴ δυνηθεὶς δὲ διὰ

1. Anc. leçon (Leuncl., D. Bouq., etc.) ἐφέπετο, corrigée par Sturz.

2. Les mots placés entre crochets manquent dans les mss.; ils sont dus à Leunclavius.

3. Bekker et Dindorf marquent ici une lacune qui n'existe pas dans les mss. Le texte est altéré; Leuncl. le rend intelligible en proposant de mettre κολασθήσωνται à la place de ποιήσωνται. L'ancienne leçon portait καὶ νεωτέρων ἀεὶ πραγμάτων ἐφιεμένοις σχολάζοντες, ποιήσωνται. Gros : ἐφιέμενοι, [καὶ οὐ] σχολάζοντες ἐνεόχμωσαν.

hommes se révoltèrent, et ils entraînèrent avec eux les autres. Alors Cæsar, qui aussi vite que possible eut avis de cette défection, envoya aux Ædues ceux des leurs qu'il avait avec lui et qu'on croyait avoir été tués, afin qu'il fût bien évident pour tout le monde qu'ils étaient en vie, et il suivit de près avec sa cavalerie. Les Ædues se repentirent et se réconcilièrent avec lui.

XXXVIII. Les Romains, ayant, en l'absence de Cæsar, éprouvé un nouvel échec devant Gergovie, s'éloignèrent définitivement de cette place. Ceux dont les manœuvres avaient amené la défection, et qui aspiraient toujours à des nouveautés, craignirent, s'ils restaient tranquilles, d'être châtiés, et se livrèrent à de nouvelles menées. Instruits de ces faits, ceux des Ædues qui étaient dans l'armée de Cæsar demandèrent qu'il leur fût permis de s'en aller chez eux, et promirent d'y régler toutes choses. Congédiés à cette fin, ils allèrent à Noviodunum[1] où les Romains avaient déposé leur trésor et un grand nombre d'otages, massacrèrent, avec le concours des gens du pays, la garnison prise au dépourvu, et se mirent en possession de tout ce qui s'y trouvait. Comme cette ville était avantageusement située, ils l'incendièrent pour que les Romains n'en fissent pas leur centre d'opérations dans cette guerre, et ils détachèrent de Rome le reste des Ædues. Cæsar entreprit sur-le-champ de marcher contre eux, mais, arrêté par le fleuve du Ligre, il se

1. Noviodunum, plus tard *Nivernum*, Nevers, *Nevirnum* dans l'Itin. d'Antonin, *Ebirno* (*Nebirno*) dans la carte de Peutinger, de Neviris ou Niveris, la *Nièvre*.

τὸν ποταμὸν τὸν Λίγρον ἐπὶ Λίγγονας ἐτράπετο. Καὶ ὁ μὲν οὐδὲ ἐκεῖνα κατώρθωσεν, ὁ δὲ δὴ Λαβιῆνος τὴν νῆσον τὴν ἐν τῷ Σηκουανῷ ποταμῷ οὖσαν, τούς τε προκινδυνεύσαντας ἐν τῇ ἠπείρῳ κρατήσας καὶ τὴν διάβασιν πολλαχῇ ἅμα κατά τε τὸν ῥοῦν καὶ ἀνάπαλιν, ὅπως μὴ καθ' ἓν περαιούμενος κωλυθῇ, ποιησάμενος, κατέσχε.

XXXIX. Πρὶν δὲ τοῦτο γενέσθαι, καταφρονήσας ὁ Οὐερκιγγετόριξ τοῦ Καίσαρος ἐξ ὧν ἐπταίκει, ἐπ' Ἀλλόϐριγας ἐστράτευσε. (Leuncl., p. 139.) Κἀν τούτῳ ὁρμήσαντα αὐτὸν ὡς καὶ βοηθήσοντά σφισιν, ἀπέλαβεν ἐν Σηκουανοῖς γενόμενον καὶ ἐνεκυκλώσατο· οὐ μέντοι κακόν τι εἰργάσατο, ἀλλὰ καὶ πᾶν τοὐναντίον τούς τε Ῥωμαίους ἠνάγκασεν ἀγαθοὺς εἶναι ἀπογνώσει τῆς σωτηρίας, καὶ αὐτὸς ὑπό τε τοῦ πλήθους καὶ ὑπὸ τοῦ θράσους ἔπταισε· καί τι καὶ ὑπὸ τῶν Κελτῶν τῶν τοῖς Ῥωμαίοις συμμαχούντων ἐσφάλη· ταῖς τε γὰρ ὁρμαῖς ἀπλήστοις[1] σώμασι τὴν τόλμαν προσεπισχυρίσαντες διέρρηξαν τὴν περίσχεσιν. Εὑρὼν δὲ δὴ τὸ εὕρημα τοῦτο ὁ Καῖσαρ οὐκ ἀνῆκεν, ἀλλ' ἐς Ἀλεσίαν[2] τοὺς διαφυγόντας αὐτῶν κατακλείσας ἐπολιόρκει.

XL. Κἀν τούτῳ ὁ Οὐερκιγγετόριξ τὸ μὲν πρῶτον τοὺς ἱππέας, πρὶν παντελῶς ἀποτειχισθῆναι, ἐξέπεμψε, τῆς τε τροφῆς τῶν ἵππων ἕνεκα, — οὐ γὰρ ἦν, — καὶ ὅπως ἐς τὰς πατρίδας ἕκαστοί σφων κομισθέντες τά τε ἐπιτήδεια καὶ

1. Gros ajoute καὶ. Reiske proposait ἄπληστοι ὄντες καὶ τοῖς σώμασι.
2. Mss. E, G, H, ἐς Σαλεσίαν, leçon primitivement adoptée ; Xylander proposait ἐς Ἀλεξίαν d'après Strabon, IV, et Leunclav. ἐς Ἀλεσίαν ; le ms. A donne ἐσαλεσίαν. — Ἀλησία dans Diodore, IV, etc., dans Plutarque, *Cæsar ;* Ἀλαισία, Polyæn. — *Alise-Sainte-Reine*, départ. de la Côte-d'Or.

dirigea vers le pays des Lingons : il ne fit rien de bon non plus de ce côté. Labiènus, au contraire, occupa l'île située dans le Sèquane (la Seine), après avoir vaincu ceux qui l'avaient défendue en combattant sur la terre ferme, et effectué le passage du fleuve sur plusieurs points à la fois, en aval et en amont, de peur d'en être empêché, s'il le tentait sur un seul point.

XXXIX. Avant cet événement, Vercingétorix, dans l'esprit de qui Cæsar était rabaissé par ses échecs, mena une armée contre les Allobriges. En ce moment, Cæsar étant parti pour les secourir, il le surprit à son arrivée chez les Sèquanes, et le cerna ; mais il ne lui fit aucun mal ; tout au contraire, car il força les Romains à se montrer braves par désespoir, et quant à lui, le nombre de ses soldats et sa témérité lui valurent un échec. Les Celtes (Germains), qui combattaient avec l'armée romaine, furent aussi pour quelque chose dans ses pertes : par ces élans fougueux où la force de leur corps augmentait encore la force de leur audace, ils rompirent les lignes qui les enveloppaient. Cet expédient qu'il trouva ne fit pas que Cæsar se relâchât ; bien mieux, les ennemis qui s'enfuirent, il les enferma dans Alésia dont il fit le siège.

XL. En ce moment, Vercingétorix, avant d'être complètement bloqué, avait renvoyé d'abord ses cavaliers[1], n'ayant pas de quoi nourrir leurs chevaux, et voulant que chacun d'eux, de retour dans sa patrie,

1. Cæsar, *Comment.*, VII, LXXI : Vercingetorix, priusquam munitiones ab Romanis perficiantur, consilium capit omnem ab se equitatum noctu dimittere. Discedentibus mandat, ut suam quisque eorum civitatem adeat, omnesque qui per ætatem arma ferre possint ad bellum cogant, etc.

ἐπικουρίαν αὐτῷ ἀγάγωσιν. Ἐπεὶ δ' οὗτοί τε ἐχρόνιζον, καὶ τὰ σιτία σφᾶς ἐπιλείπειν ἤρξατο, τούς τε παῖδας καὶ τὰς γυναῖκας καὶ τῶν ἄλλων τοὺς ἀχρειοτάτους ἐξέβαλεν, ἐλπίσας μάτην ὅτι ἢ καὶ ἐκεῖνοι πρὸς τῶν Ῥωμαίων τῆς λείας ἕνεκα σωθήσονται, ἢ οἵ γε λοιποὶ ταῖς τροφαῖς αὐτῶν ἐπὶ πλεῖον χρησάμενοι περιγενήσονται. Ὁ γὰρ Καῖσαρ ἄλλως μὲν οὐδ' αὐτὸς τῶν ἐπιτηδείων, ὥστε καὶ ἑτέρους τρέφειν, εὐπόρει· τοῖς δ' οὖν πολεμίοις ἰσχυροτέραν τὴν σιτοδείαν, ἐπανελθόντων αὐτῶν, ἐλπίδι τοῦ πάντως σφᾶς καταδεχθήσεσθαι, ποιήσειν νομίσας, πάντας αὐτοὺς ἀπεώσατο. Καὶ οἱ μὲν οὕτως ἐν τῷ μέσῳ τῆς πόλεως καὶ τοῦ στρατοπέδου, μηδετέρων σφᾶς δεχομένων, οἰκτρότατα ἀπώλοντο· ἡ δὲ ἐπικουρία τῶν τε ἱππέων καὶ τῶν ἄλλων τῶν ὑπ' αὐτῶν ἀχθέντων ἐπῆλθε μὲν οὐκ ἐς μακρὰν τοῖς βαρβάροις, ἱππομαχίᾳ δὲ δή.....[1] τῶν Ῥωμαίων τῇ βοηθείᾳ. Καὶ μετὰ τοῦτο, πειράσαντες νυκτὸς διὰ τῶν περιτειχισμάτων ἐς τὴν πόλιν ἐσελθεῖν, ἰσχυρῶς ἐπόνησαν, τάφρους τε γὰρ οἱ Ῥωμαῖοι κρυπτὰς ἐν τοῖς ἱππασίμοις ἐπεποιήκεσαν καὶ σκόλοπας ἐς αὐτὰς ἐνεπεπήχεσαν, πάντα ἐπιπολῆς τῷ ἄλλῳ τῷ πέριξ χωρίῳ ὁμοιώσαντες, ὥστε καὶ τοὺς ἄνδρας καὶ τοὺς ἵππους ὅτι μάλιστα ἐς αὐτὰ ἀπερισκέπτως ἐμπεσόντας σφαλῆναι. Οὐ μέντοι καὶ ἐνέδοσαν πρὶν ἐκ παρατάξεως αὖθις [2] πρὸς αὐτοῖς τοῖς τειχίσ-

1. Lacune qu'on a essayé de combler de diverses manières. Leunclavius propose, d'après Cæsar, VII, LXXX, ἱππ. δὲ [ἡττήθη] τῶν Γερμανῶν τῇ βοηθ. Mais Dion ne désigne jamais les Germains que par le mot Κελτοί. Xylander l'avait bien vu. Il ne manque vraisemblablement qu'un mot, ἡττήθη, ὠθήθη ou tout autre du même sens. — τῶν Ῥωμαίων se comprend très bien : ce sont les auxiliaires des Romains, quels qu'ils soient.

2. *Vulg.* ἀρθέντες ; les mss. ἀρθείς; αὖθις est de Bekker ; on pourrait maintenir ἐκ παρατ. ἀρθέντες = *ex acie erecti.*

lui en ramenât des provisions et des secours. Mais ils y mirent trop de temps et les vivres commencèrent à manquer : alors il fit sortir les enfants, les femmes et toutes les autres personnes inutiles. Il avait espéré en vain que les Romains, avides de butin, sauveraient cette multitude, ou bien que les autres, ayant de quoi vivre plus longtemps avec ce qu'elle aurait mangé, auraient enfin l'avantage. Mais Cæsar, qui n'avait pas lui-même assez de vivres pour nourrir des étrangers, qui pensait d'ailleurs que la pénurie serait plus forte encore chez les ennemis quand ces affamés seraient rentrés dans la ville où il espérait bien qu'on les recevrait, les repoussa tous. Errants entre la ville et le camp, sans que, ni d'un côté ni de l'autre, on les voulût recevoir, ils périrent misérablement. Le secours de la cavalerie et les autres troupes amenées par elle arrivèrent bien aux barbares sans trop de retard; mais dans un combat de cavalerie ils furent repoussés par les auxiliaires des Romains[1]. Après cela, ayant essayé d'entrer dans la ville en traversant les murs de circonvallation, ils eurent encore fort à souffrir. Car les Romains avaient creusé des fossés sous terre dans les endroits accessibles à la cavalerie, et ils y avaient enfoncé des pieux pointus [par le haut], en rendant à la surface le terrain de tout point semblable au sol environnant : hommes et chevaux tombèrent pour la plupart dans ces trous qu'ils ne voyaient pas et y périrent. Cependant les barbares ne cédèrent pas avant d'avoir, dans une bataille rangée, sous leurs

1. Il s'agit probablement des auxiliaires germains qui avaient rendu déjà de grands services à Cæsar (*supr.*, XXXIX). — Cf. *Comment.*, VII, LXXX.

μασιν αὐτοί τε ἅμα καὶ οἱ ἐκ τῆς πόλεως ἐπεξελθόντες πταῖσαι.

XLI. Ὁ δ' οὖν Οὐερκιγγετόριξ ἠδυνήθη μὲν ἐκφυγεῖν, οὔτε γὰρ ἑάλω καὶ ἄτρωτος ἦν, (Leuncl., p. 140) ἐλπίσας δ', ὅτι ἐν φιλίᾳ ποτὲ τῷ Καίσαρι ἐγεγόνει, συγγνώμης παρ' αὐτοῦ τεύξεσθαι, ἦλθε πρὸς αὐτὸν μὴ ἐπικηρυκευσάμενος, καὶ καθημένῳ οἱ ἐπὶ βήματος ἐξαίφνης ὤφθη, ὥστε καὶ ταραχθῆναί τινας· ἄλλως τε γὰρ περιμήκης ἦν καὶ ἐν τοῖς ὅπλοις δεινῶς ἐνέπρεπεν· ἡσυχίας δ' οὖν γενομένης, εἶπε μὲν οὐδέν, πεσὼν δὲ ἐς γόνυ, τώ τε χεῖρε πιέσας[1] ἐδεῖτο. Ταῦτα τοῖς μὲν ἄλλοις οἶκτον τῇ τε τῆς προτέρας αὐτοῦ τύχης ἀναμνήσει καὶ τῷ τῆς παρούσης ὄψεως περιπαθεῖ ἐνέβαλεν· ὁ δὲ δὴ Καῖσαρ αὐτό τε αὐτῷ τοῦτο, δι' ὃ μάλιστα σωθήσεσθαι προσεδόκησεν, ἐπεκάλεσε· τῆς γὰρ φιλίας τὴν ἀντίταξιν ἀντιθείς, χαλεπωτέραν τὴν ἀδικίαν αὐτοῦ ἀπέφηνε· καὶ διὰ τοῦτο οὔτε ἐν τῷ παραχρῆμα αὐτὸν ἠλέησεν, ἀλλ' εὐθὺς ἐν δεσμοῖς ἔδησε, καὶ ἐς τὰ ἐπινίκια μετὰ τοῦτο πέμψας ἀπέκτεινε.

XLII. Τοῦτο μὲν οὖν ὕστερον ἐγένετο, τότε δὲ τοὺς μὲν ὁμολογίᾳ τῶν λοιπῶν προσέθετο, τοὺς δε καὶ μάχῃ κρατήσας ἐδουλώσατο. Οἵ τε γὰρ Βελγικοὶ[2] οἱ πλησιόχωροι, Κόμμιόν[3] τινα Ἀτρέβαν[4] προστησάμενοί σφων, ἐπὶ πλεῖστον ἀντέσχον, καὶ δύο τε ἱππομαχίαις ἀγχώμαλά

1. *Vulg.* ποιήσας qui ne présente pas de sens; un ms., C, donne πιέσας, généralement adopté. Leunclav. proposait προτείνας.

2. *Vulg.* Κελτικοί, A, B, F portent Βελτικοί, correction déjà indiquée par Leunclavius.

3. G Κόμιον, H Κομίκιον.

4. Ici les mss. C, E, F, G, H Ἄτρεμαν, et un peu plus loin (chap. XLIII) Ἄτρεμας.

murs mêmes, subi, eux et ceux qui étaient sortis de la ville, un nouvel échec.

XLI. Vercingétorix pouvait fuir; il n'avait pas été pris, et il n'était pas blessé. Espérant, pour avoir eu autrefois l'amitié de Cæsar, qu'il obtiendrait de lui son pardon, il alla le trouver sans lui avoir envoyé de parlementaire, et se montra aux yeux du proconsul assis sur son tribunal : quelques-uns furent même troublés à cette soudaine apparition, car il était d'une haute stature et avait sous les armes un très grand air. On fit silence, et lui, sans rien dire, tombant à genoux, joignant les mains, il pria. Les autres, au souvenir de sa fortune passée, au spectacle émouvant de sa situation présente, étaient pénétrés de compassion; mais Cæsar invoqua contre lui ces mêmes souvenirs d'où le vaincu attendait surtout son salut; et opposant à l'ami l'adversaire, il montra ainsi combien plus révoltants avaient été ses torts. Et par cette raison, il n'eut point sur l'heure de pitié pour lui et le jeta dans les fers, et plus tard, l'ayant traîné aux fêtes de sa victoire, il le fit mourir.

XLII. Mais cela arriva quelque temps après. Pour le moment, voici quel fut le sort des autres [peuples] : Cæsar admit les uns à composition, vainquit les autres dans des batailles et les réduisit en esclavage. Les *Belgiques* du pays voisin, s'étant donné pour chef un certain Commios Atrébas[1], résistèrent très longtemps, et, dans deux combats de cavalerie, les avantages se

1. Dion semble faire d'Atrébas (l'Atrébate) un des noms de Commius. V. le ch. suivant.

πη ἠγωνίσαντο, καὶ τρίτῃ πεζομαχίᾳ ἰσοπάλῳ τὸ πρῶτον συνενεχθέντες, ἔπειτα ὑπὸ τοῦ ἱππικοῦ κατὰ νώτου σφίσιν ἀνελπίστως προσπεσόντος ἐτράπησαν. Κἀκ τούτου τό τε στρατόπεδον τῆς νυκτὸς οἱ περιλιπεῖς ἐξέλιπον, καὶ διελθόντες ὕλην τινὰ, ἐκείνην τε ἐνέπρησαν καὶ τὰς ἁμάξας μόνας ὑπελίποντο, ὅπως, τῶν πολεμίων διά τε ταύτας καὶ διὰ τὸ πῦρ χρονισάντων, φθάσωσιν ἐς τὸ ἀσφαλὲς ἀποχωρήσαντες. Οὐ μέντοι καὶ ἐπιτυχεῖς τῆς ἐλπίδος ἐγένοντο· οἱ γὰρ Ῥωμαῖοι ὡς τάχιστα τῆς φυγῆς αὐτῶν ᾔσθοντο, ἐπεδίωξάν σφας, καὶ ἐντυχόντες τῷ πυρὶ τὰ μὲν κατέσβεσαν, τὰ δὲ καὶ διέκοψαν, καί τινες καὶ διὰ μέσης τῆς φλογὸς δραμόντες κατέλαβον αὐτοὺς ἀπροσδόκητοι καὶ παμπληθεῖς ἐφόνευσαν.

XLIII. Ἐκ δὲ τούτου τῶν μὲν ἄλλων τινὲς ὡμολόγησαν, ὁ δὲ Ἀτρέβας διαφυγὼν οὐδ' ὣς ἡσύχασεν, ἀλλὰ καὶ τὸν Λαβιῆνον ἐπεχείρησεν ἐνεδρεῦσαί ποτε. Ἡττηθεὶς δὲ τῇ μάχῃ, ἀνεπείσθη μὲν ἐς λόγους αὐτῷ ἐλθεῖν, πρὶν δὲ ἢ ὁτιοῦν συμβῆναι, τρωθεὶς ὑπό τινος τῶν Ῥωμαίων, ἀπιστίᾳ τοῦ μὴ ἂν ἀκριβῶς εἰρηνῆσαι, διέφυγε, καὶ χαλεπὸς αὖθις αὐτοῖς ἐγένετο, μέχρις οὗ ἀπογνοὺς τὰ πράγματα, τοῖς μὲν ἄλλοις τοῖς συνοῦσίν οἱ ἀκέραιον τὴν ἄδειαν ἐπὶ πᾶσι τοῖς σφετέροις ἔπραξεν[1], (Leuncl., p. 141)

1. Au dire d'Hirtius (?) (*Comment.*, VIII, XLVIII), c'est avec Antonius qu'il traita : ..... legatos ad Antonium mittit, seque et ibi futurum, ubi præscripserit, et ea facturum, quæ imperarit, obsidibus datis firmat. Unum illud orat, ut timori suo concedatur, ne in conspectum veniat cujusquam romani..... Cf. *supr.*, XXIII.

balancèrent. Dans un troisième engagement, qui fut une bataille d'infanterie, la lutte fut égale d'abord, et ce n'est qu'après que la cavalerie ennemie fut tombée à l'improviste sur leurs derrières qu'ils furent forcés de fuir. Dès lors, ceux qui restaient laissèrent leur camp pendant la nuit, et en traversant une forêt, ils l'incendièrent, ne laissant derrière eux que leurs chariots, afin que, l'ennemi se trouvant retardé par cet obstacle et par le feu, ils eussent le temps de se retirer en lieu sûr. Mais ils ne réussirent pas comme ils l'avaient espéré ; car les Romains ne se furent pas plus tôt aperçus de leur fuite qu'ils les poursuivirent. Arrivés devant la forêt incendiée, ils éteignirent le feu et firent une trouée parmi les chariots : quelques-uns même, courant à travers les flammes, attrapèrent les barbares qui les croyaient bien loin, et en massacrèrent une multitude.

XLIII. Dès lors[1], des autres peuples, quelques-uns traitèrent; mais Atrébas, qui s'était échappé, ne se tint pas tranquille : il entreprit de tendre des embûches à Labiènus. Défait dans une bataille, il se laissa persuader d'entrer en pourparlers ; mais blessé par un Romain avant que rien fût convenu, et ne croyant pas que la paix pût être bien sûre avec les Romains, il s'enfuit encore, et recommença de les inquiéter. Enfin, désespérant de sa situation, il obtint, en faisant lui-même toutes les conditions, une complète sécurité pour ses compagnons d'armes, et, suivant

1. An de Rome 702, av. J.-C. 52. — Voir, pour ces faits et pour ceux qui précèdent, le *Comment.* VIII attribué à Hirtius. Ou Dion a singulièrement confondu plusieurs circonstances, ou bien il a travaillé sur des données différentes.

αὐτὸς δὲ ἑαυτῷ τὸ μηδέποτε, ὥς γέ τινες, ἐς ὄψιν μηδενὸς Ῥωμαίου ἐλθεῖν. Ἐκεῖνοί τε οὖν οὕτω κατελύσαντο, καὶ οἱ λοιποὶ μετὰ τοῦτο, οἱ μὲν ἑκούσιοι, οἱ δὲ καὶ καταπολεμηθέντες, ἐχειρώθησαν· καὶ αὐτοὺς ὁ Καῖσαρ καὶ φρουραῖς καὶ δικαιώσεσι χρημάτων τε ἐσπράξεσι καὶ φόρων ἐπιτάξεσι τοὺς μὲν ἐταπείνωσε, τοὺς δὲ ἡμέρωσε. Ταῦτα μὲν οὕτως ἐπί τε Λουκίου Παύλου καὶ ἐπὶ Γαίου Μαρκέλλου ὑπάτων ἐτελευτήθη.

XLIV. Ὁ δὲ δὴ Καῖσαρ τῶν μὲν Γαλατῶν ἕνεκα καὶ τοῦ χρόνου τοῦ πρὸς τὴν ἡγεμονίαν αὐτῷ δοθέντος ἔκ τε τῆς Γαλατίας ἀπαλλαγῆναι καὶ ἐς τὴν Ῥώμην ἐπανακομισθῆναι ὤφειλεν.....

LIV. (Leuncl., p. 146.) ..... Ὁ Μίλων τῷ λόγῳ πεμφθέντι οἱ ὑπ' αὐτοῦ (τοῦ Κικέρωνος) ἐντυχών, — ἐπεφυγάδευτο γάρ, — ἀντεπέστελε λέγων ὅτι ἐν τύχῃ αὐτῷ ἐγένετο τὸ μὴ ταῦθ' οὕτω καὶ ἐν τῷ δικαστηρίῳ λεχθῆναι· οὐ γὰρ ἂν τοιαύτας ἐν τῇ Μασσαλίᾳ, ἐν ᾗ κατὰ τὴν φυγὴν ἦν, τρίγλας ἐσθίειν, εἴπερ τι τοιοῦτον ἀπελελόγητο.....

Βίβλος ΜΑ'.

IV. ..... (Λαβιῆνος) ὑπὸ τοῦ Καίσαρος ἀεί ποτε τιμηθείς, ὥστε καὶ πάντων τῶν ὑπὲρ τὰς Ἄλπεις στρατοπέδων, ὁπότε ἐκεῖνος ἐν τῇ Ἰταλίᾳ εἴη, ἄρχειν.....

X. ..... Ἦν μὲν γὰρ καὶ ἡ Ἰβηρία αὐτῷ (τῷ Πομπηίῳ) πᾶσα οἰκεία, οὐκ ἐδύνατο δὲ ἐς αὐτὴν ἀσφαλῶς, ἅτε καὶ τοῦ Καίσαρος τὰς Γαλατίας ἔχοντος, κομισθῆναι.....

XIX. (Leuncl., p. 126.) Οἱ μέντοι Μασσαλιῶται

quelques-uns, la certitude pour lui de ne jamais se trouver en face d'un Romain. C'est ainsi que ce peuple sortit de la lutte ; les autres ensuite se soumirent, soit volontairement, soit après avoir été abattus par la guerre. Cæsar, par tous les moyens, garnisons, châtiments, exactions, tributs réguliers, abaissa les uns et rendit les autres plus maniables. — Tels sont les événements qui s'accomplirent sous le consulat de Lucius Paulus et de Gaius Marcellus.

XLIV. L'état des Galates (Gaulois) et l'expiration du temps qui lui avait été assigné pour son commandement faisaient à Cæsar un devoir de partir de la Galatie (Gaule) et de se rendre à Rome.....

LIV. ..... Milon ayant lu le plaidoyer que Cicéron lui avait envoyé, — il était exilé, — écrivit à l'orateur une lettre où il disait que c'était un bonheur pour lui que ce beau discours n'eût pas été prononcé devant le tribunal, car il ne mangerait pas de si bons rougets à Massalie, où il était en exil, s'il eût été aussi bien défendu.....

Livre XLI.

IV (O). ..... Labiènus avait été autrefois en si haute estime auprès de Cæsar qu'il avait le commandement de toutes les légions au delà des Alpes, toutes les fois que le proconsul était en Italie.....

X (O). ...... L'Ibèrie était aussi tout entière à Pompée, mais il ne pouvait s'y rendre sans danger parce que Cæsar, de son côté, tenait les Galaties (Gaules).....

XIX. Les Massaliôtes, seuls des habitants de la

μόνοι τῶν ἐν τῇ Γαλατίᾳ οἰκούντων οὔτε συνήραντο τῷ Καίσαρι οὔτε ἐς τὴν πόλιν ἐσεδέξαντο, ἀλλὰ καὶ ἀπόκρισιν αὐτῷ ἀξιομνημόνευτον ἔδοσαν · τῷ τε γὰρ δήμῳ τῶν Ῥωμαίων συμμαχεῖν καὶ ἐκείνοις ἐπιτηδείως ἀμφοτέροις ἔχειν, καὶ μήτε πολυπραγμονεῖν τι μήθ' ἱκανοὶ διακρῖναι πότερος αὐτῶν ἀδικεῖ, εἶναι ἔφασαν, ὥστε εἰ μέν τις ὡς φίλος ἐθέλοι πρὸς σφᾶς ἐλθεῖν, καὶ ἀμφοτέρους αὐτοὺς ἄνευ τῶν ὅπλων δέξεσθαι ἔλεγον, ἐπὶ πολέμῳ δὲ οὐδέτερον[1]. Καταστάντες τε ἐς πολιορκίαν, αὐτόν τε ἐκεῖνον ἀπεκρούσαντο, καὶ τῷ Τρεβωνίῳ τῷ τε Βρούτῳ τῷ Δεκίμῳ μετὰ τοῦτο προσεδρεύσασί σφισιν ἐπὶ πλεῖστον ἀντέσχον. Ὁ γὰρ Καῖσαρ χρόνον μέν τινα, ὡς καὶ ῥᾳδίως αὐτοὺς αἱρήσων, προσεκαρτέρησε, — καὶ γὰρ αὐτῷ δεινὸν ἐδόκει εἶναι ὅτι καὶ τῆς Ῥώμης ἀμαχὶ κρατήσας, ὑπὸ Μασσαλιωτῶν οὐκ ἐδέχετο, — ἔπειτα ἐπειδὴ ἀντῆρκουν, ἐκείνους μὲν ἑτέροις προσέταξεν, αὐτὸς δὲ ἐς τὴν Ἰβηρίαν ἠπείχθη.

XXI. (Leuncl., p. 163.) ..... Καὶ εἴ γε μὴ οἱ Μασσαλιῶται ἐν τούτῳ ναυμαχίᾳ πρὸς τοῦ Βρούτου τῷ τε μεγέθει τῶν νεῶν αὐτοῦ καὶ τῇ ῥώμῃ τῶν ἐπιβατῶν, καίπερ καὶ τῷ Δομιτίῳ συμμάχῳ χρώμενοι καὶ τῇ ἐμπειρίᾳ τῶν ναυτικῶν προέχοντες, ἡττήθησαν, κἀκ τούτου παντελῶς ἀπεκλείσθησαν, οὐδὲν ἂν ἐκώλυσε πάντα τὰ πράγματα αὐτοῦ (τοῦ Καίσαρος) φθαρῆναι.

XXV. (Leuncl., p. 165.) Ἐν ᾧ δὲ ταῦτ' ἐγίγνετο, οἱ

1. Cette réponse « mémorable » se trouve dans Cæsar, *G. Civ.*, I, xxxv, où elle est un peu plus développée : Intelligere se divisum esse populum Rom. in partes duas; neque sui judicii neque suarum esse virium decernere utra pars justiorem habeat causam..... Quare paribus eorum beneficiis parem se quoque voluntatem tribuere debere, etc.

Galatie (Gaule), ne voulurent ni se mettre avec Cæsar[1], ni le recevoir dans leur ville; ils lui firent une réponse mémorable : Ils étaient, dirent-ils, les alliés du peuple romain ; ils voulaient du bien à l'un comme à l'autre des deux [rivaux] ; ils ne s'occupaient guère, ils n'étaient pas capables de démêler lequel des deux avait tort. Aussi, que l'un d'eux vînt en ami dans leur ville, ils se déclaraient prêts à le recevoir, et tous les deux également sans armes, mais pour la guerre, ni l'un ni l'autre. Bloqués par Cæsar, ils le repoussèrent, et à Trébonius, à Brutus Décimus qui les assiégèrent ensuite, ils opposèrent une longue résistance. Car Cæsar s'était entêté quelque temps à cette opération, croyant qu'il lui serait facile d'en venir à bout : — il trouvait étrange, lui qui s'était rendu maître de Rome sans combat, de n'être pas reçu par des Massaliôtes ; — mais, comme la ville tenait bon, il remit à d'autres le soin de la réduire, et se hâta de se rendre en Ibèrie.

XXI. ..... Et si les Massaliôtes en ce moment n'avaient pas été défaits dans un combat naval par Brutus, grâce à la grandeur de ses navires et à la force de ses marins, bien qu'aidés en ce combat par Domitius et ayant l'avantage de l'expérience en fait d'art nautique ; si, par suite [de cette défaite], ils n'avaient pas été enfermés dans leurs murs, rien n'aurait empêché la ruine de Cæsar.

XXV. Pendant que cela se passait (le voyage de Cæsar revenant d'Espagne par les Pyrénées), les

1. An de Rome 705, av. J.-C. 49.

Μασσαλιῶται, νεῶν σφισι παρὰ τοῦ Πομπηίου αὖθις πεμφθεισῶν ἀνεκινδύνευσαν· καὶ ἡττήθησαν μὲν καὶ τότε, διεκαρτέρουν δέ, καίτοι καὶ τὴν Ἰϐηρίαν ἤδη τὸν Καίσαρα ἔχοντα πυνθανόμενοι, καὶ τάς τε προσϐολὰς ἰσχυρῶς ἀπεκρούοντο, καὶ διοκωχήν τινα ὡς καὶ τῷ Καίσαρι, ἐπειδὰν ἔλθῃ, προσχωρήσοντες ποιησάμενοι, τόν τε Δομίτιον ὑπεξέπεμψαν, καὶ τοὺς στρατιώτας ἐπιθεμένους σφίσιν ἐν ταῖς σπονδαῖς νυκτὸς οὕτω διέθεσαν ὥστε μηδὲν ἔτι τολμῆσαι. Τῷ μέντοι Καίσαρι αὐτῷ ἐλθόντι ὡμολόγησαν· καὶ ὃς ἐκείνων τότε μὲν τά τε ὅπλα καὶ τὰς ναῦς τά τε χρήματα ἀφείλετο, ὕστερον δὲ καὶ τὰ λοιπὰ πάντα πλὴν τοῦ τῆς ἐλευθερίας ὀνόματος [1]· ἀνθ' ὧν ἡ Φώκαια ἡ μητρόπολίς σφων ἐλευθέρα ὑπὸ τοῦ Πομπηίου ἀφείθη.

XXX. .....[2] Τίς γὰρ ἂν οὐκ ἀγανακτήσειεν ἀκούων ὄνομα μὲν ἡμᾶς Ῥωμαίων ἔχοντας, ἔργα δὲ Κελτῶν δρῶντας; τίς δ' οὐκ ἂν ὁρῶν ὀδύραιτο τὴν Ἰταλίαν ὁμοίως τῇ Βρεττανίᾳ πορθουμένην; πῶς δ' οὐ δεινὸν τὰ μὲν τῶν Γαλατῶν τῶν καταπολεμηθέντων μηκέθ' ἡμᾶς λυπεῖν, τὰ δὲ ἐντὸς τῶν Ἄλπεων ὥς τινας Ἠπειρώτας ἢ Καρχηδονίους ἢ Κίμϐρους πορθεῖν; πῶς δ' οὐκ αἰσχρὸν σεμνύνεσθαι μὲν ἡμᾶς, καὶ λέγειν ὅτι ἡμεῖς πρῶτοι Ῥωμαίων καὶ τὸν Ῥῆνον διέϐημεν καὶ τὸν ὠκεανὸν ἐπλεύσαμεν, τὴν δὲ οἰκείαν ἀπαθῆ κακῶν ἀπὸ τῶν πολεμίων οὖσαν διαρπάσαι;.....

XXXII. ..... Οὔτ' ἂν τά τε τῶν Κελτῶν καὶ τὰ τῶν

1. V. Cæsar, *G. civ.*, II, XXII.
2. Disc. de Cæsar à ses soldats révoltés à Plaisance.

Massaliôtes, à qui Pompée avait envoyé des vaisseaux, affrontèrent de nouveau la lutte ; ils furent encore défaits cette fois. Ils tinrent ferme pourtant, bien qu'ils apprissent que l'Ibèrie était déjà au pouvoir de Cæsar, et ils repoussèrent vigoureusement toutes les attaques. Puis, ayant conclu une trêve, à la condition de se rendre à Cæsar dès son arrivée, ils firent sortir secrètement Domitius ; et quant aux soldats qui, malgré les traités, les avaient attaqués pendant la nuit, ils les mirent en un tel état que ces soldats n'osèrent plus rien contre eux. Cependant, dès que Cæsar fut arrivé, ils capitulèrent. Il leur enleva alors leurs armes, leurs navires, leur argent, et, plus tard, tout le reste, excepté une liberté purement nominale. C'était aux mêmes conditions que Phôcæa, leur métropole, avait été laissée libre par Pompée.

XXX. ..... (O). « Qui ne serait indigné en apprenant que, nous qui portons le nom de Romains, nous agissons comme des Celtes (Germains)[1] ? Qui ne gémirait de voir l'Italie ravagée comme la Brettanie ? N'est-il pas étrange que nous ne fassions aucun mal aux Galates (Gaulois) abattus par nous à la guerre, et que nous ravagions les contrées en deçà des Alpes, comme feraient des Epirôtes, des gens de Carchèdon ou des Cimbres ? N'est-ce pas une honte que nous soyons fiers de dire que, les premiers des Romains, nous avons passé le Rhèn et navigué sur l'Océan, et que nous ravagions notre propre pays qui n'avait souffert aucun mal de la part de ses ennemis ?..... »

XXXII (O). « ..... *Si la patrie n'était pas en danger*, nous n'aurions pas laissé inachevées nos expéditions

1. Litt. : nous faisons œuvre de Celtes (Germains).

Βρεττανῶν ἀτέλεστα κατελίπομεν, δυνηθέντες ἂν καὶ ἐκεῖνα προσκατεργάσασθαι.....

XXXIV. ..... (Ἐγὼ) δι' οὗ καὶ Γαλάτας ἐχειρώσασθε καὶ Βρεττανῶν[1] ἐκρατήσατε.....

XXXVI. ..... (Leuncl., p. 170.) Καὶ τοῖς Γαλάταις τοῖς ἐντὸς τῶν Ἄλπεων ὑπὲρ τὸν Ἠριδανὸν οἰκοῦσι τὴν πολιτείαν, ἅτε καὶ ἄρξας αὐτῶν, ἀπέδωκε.....

